

Euripides
Medea



[KL]EINE TEXTE FÜR VORLESUNGEN UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN
89

EVRIPIDES MEDEA

MIT

SCHOLIEN

HERAUSGEGEBEN

VON

DR. ERNST DIEHL
O. PROFESSOR IN INNSBRUCK

PREIS BROSCH. 2.60 M., GEB. 3.— M.



BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1911

KLEINE TEXTE FÜR VORLESUNGEN UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN
89

EVRIPIDES MEDEA

MIT

SCHOLIEN

HERAUSGEGEBEN

VON

DR. ERNST DIEHL
O. PROFESSOR IN INNSBRUCK



BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1911

CONSPECTVS CODICVM EVRIPIDIS
EDITIONIS MVRRAYANAE

A = cod. Parisinus 2712 membranac. saec. XIII
B = cod. Parisinus 2713 membranac. saec. XII/XIII
    B^2 = manus secunda
    B^3 = manus recentiores
V = cod. Vaticanus 909 bombycin. saec. XIII
L = cod. Laurentianus 32, 2 chartac. saec. XIV
P = cod. Palatinus inter Vaticanos 287 membranac. saec. XIV
Π^1 = Papyr. H. Weil Un Papyrus inédit Paris 1879
Π^2 = Papyr. Oxyrhynch. III p. 103 ss, 450 saec. II/III
Π^3 = Papyr. Berolinensis Griech. Dichterfragmente V 2
O = cod. Laurentianus 31, 10 chartac. saec. XIV (?)
D = cod. Laurentianus 31, 15 chartac. saec. XIV
F = cod. Marcianus 468 bombycin. saec. XIV
Haun. = cod. Hauniensis 417 chartac. saec. XV

CONSPECTVS CODICVM SCHOLIORVM
EDITIONIS SCHWARTZIANAE

V = cod. Vaticanus 909 bombyc. saec. XIII
B = cod. Parisinus 2713 membr. saec. XII uel XIII
    B^g = glossae interlineares
    B^i = scholia intermarginalia
[D = cod. Laurentianus 31, 15 saec. XIV in.
P = cod. Palatinus 287 saec. XIV]

l = lemma
Σ = scholion

ΕΥΡΙΠΙΔΟΥ ΜΗΔΕΙΑ

ΥΠΟΘΕΣΙΣ ΜΗΔΕΙΑΣ

VBD Ἰάσων εἰς Κόρινθον ἐλθὼν ἐπαγόμενος καὶ Μήδειαν ἐγγυᾶται καὶ τὴν τοῦ Κρέοντος τοῦ Κορινθίων βασιλέως θυγατέρα Γλαύκην πρὸς γάμον. μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, 5 παραιτησαμένη εἰς μίαν ἡμέραν μεῖναι καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ ἐσθῆτα καὶ χρυσοῦν στέφανον. οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐπὶ ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ' Ἡλίου ἔλαβεν, ἔποχος γενομένη ἀποδιδράσκει εἰς 10 Ἀθήνας κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης [frg. 74] δὲ καὶ Σιμωνίδης [frg. 204] φασὶν ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως [frg. 6]·

> αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα 15
> γῆρας ἀποξύσασ' εἰδυίῃσι πραπίδεσσι
> φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησιν.

Αἰσχύλος δ' ἐν ταῖς Διονύσου τροφοῖς [frg. 50] ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα ἐνεοποίησε. Στάφυλος [frg. 5] δέ φησι τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι. ἐγκελεύ- 20 σασθαι γὰρ αὐτὴν οὕτως ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς αὐτὸν κατακοιμηθῆναι μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου. ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι τελευτῆσαι αὐτόν.

---

4 prius τοῦ om BD **5** τοῦ ἐκ V **6** εἰς Nauck Schw.: ὡς D: πρὸς VB **7** καὶ ἐσθῆτα D **8** διαχρησαμένη VD **9** ἀπώλετο VD αὐτῆς V **11—19** cf. schol. Arist. Eq. 1321 **12** φασὶν om V ἑψήσασα D: ἀφεψήσασα Elmsley ad schol. Arist. **15** αὐτίκα: ὅτου D φιλόκορον V contra schol. Ar. ἡβώοντα Lascaris: ἡβόωντα VD: ἡβώωντα B **16** ἀποξύσασα Elmsley ἰδυίῃσι B cum schol. Arist. **17** χρυσείοισι schol. Ar.: χρυσέοισι BD: χρυσίῃσι V **18** τροφαῖς V **19** cf. schol. 1386 **20** δὲ ὑπὸ τῆς μηδ. τ. ἰ. τ. τ. ἀν. V τὸν Ἰάσονα om D **20s** ἐκκελεύσασθαι ll.: em Lascaris **21** αὐτῇ D **22** ἐμπεσούσης γὰρ τ. V

VDP τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσας, ὡς Δικαίαρχος * * τοῦ τῆς Ἑλλάδος βίου [frg. 10] καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασιν [frg. 635]. μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλαχέναι τὴν ὑπόκρισιν τὴν Μήδειαν, ἀλλὰ προπεσεῖν εἰς δάκρυα, ὅτε ἐπεβούλευσεν Ἰάσονι καὶ τῇ γυναικί. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν καὶ ἡ ἐπεξεργασία 5 'μηδ' ἐν νάπαισι [3]' καὶ τὰ ἑξῆς· ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὑστέρῳ πρώτῳ φησὶ κεχρῆσθαι, ὡς Ὅμηρος [ε 264]· 'εἵματα δ' ἀμφιέσασα θυώδεα καὶ λούσασα'.

BDP Ἀριστοφάνους: Μήδεια διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν τῷ ἐκεῖνον γεγαμηκέναι τὴν Κρέοντος θυγατέρα ἀπέκτεινε μὲν ταύτην καὶ Κρέοντα 10 καὶ τοὺς ἰδίους υἱούς, ἐχωρίσθη δὲ Ἰάσονος Αἰγεῖ συνοικήσουσα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα.

ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων, προλογίζει δὲ τροφὸς Μηδείας.

ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος ὀλυμπιάδος πζ̄ ἔτει ᾱ. πρῶτος 15 Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ Φιλοκτήτῃ Δίκτυι Θερισταῖς σατύροις. οὐ σῴζεται.

1—8 post Μηδείας (14) exhibet P: om B **1** s cf. Diog. Laert. 2, 134 Suid. s. u. Νεόφρων **1** παρὰ—**8** λούσασα om V **1** παναιόφρονοσ P **1** ὡς—**2** ὑπομνήμασιν om P **2** lacunam statuit Schw. τοῦ τῆς Schw.: τοῦ τε D: ἐν τῷ περὶ Kirchhoff **3** τὸ D a. corr.: τῷ D e corr.: om P πεφυλακέναι D: πεφυκέναι P: em Nauck **3** s τῇ μηδείᾳ DP: em Beck **4** προσπεσεῖν DP: em Kirchhoff **5** ss cf. schol. 1 **6** τιμαχίασ P **7** φησὶ πρώτω D κεχρῆσθαι om P **9—17** om V **9** ἀριστοφάνουσ γραμματικοῦ ὑπόθεσισ BD: om P **10** γλαύκην τὴν P τ. καὶ Κρ. Schw.: κρέοντα sscr. γλαύκην B: γλαύκην κρ. D: γλ. καὶ κρ. P **11** συνοικήσασα ll.: em Lascaris **13. 14** post 17 exh. D **15** ss om B **15** ἐδιδάχθη δὲ D πυθιοδώρου DP: em Brunck ὀλυμπιάδι D ἔτει ᾱ Matthiae: ιδ̄ εῑ D: om P **16** φιλοκτήτησ DP δίκτι D: δίκτυσ P **17** θερισταὶ σάτυροσ DP

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΤΡΟΦΟΣ
ΚΡΕΩΝ
ΠΑΙΔΕΣ ΜΗΔΕΙΑΣ
ΠΑΙΔΑΓΩΓΟΣ
ΙΑΣΩΝ
ΧΟΡΟΣ ΓΥΝΑΙΚΩΝ
ΑΙΓΕΥΣ
ΜΗΔΕΙΑ
ΑΓΓΕΛΟΣ

sic BV: τροφόσ. πρεσβύτησ. κρέων A ʼΙάσων et χορὸς γυναικῶν om A
τροφόσ. κρέων. παιδαγωγόσ. μήδεια. χορὸσ γυναικῶν. αἰγεύσ. ἰάσων.
παῖδεσ (μηδείασ add. P). ἄγγελοσ LP

Μήδεια

ABVL PF

ΤΡ. Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,
μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας

ABVL PFΠ¹

ἀνδρῶν ἀρίστων οἳ τὸ πάγχρυσον δέρας 5
Πελίᾳ μετῆλθον. οὐ γὰρ ἂν δέσποιν' ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ' Ἰωλκίας
ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος,

---

1 διαπτᾶσθαι ll. praeter VL contra Eustath. in Il. p. 452. 526. 1248
2 Αἶαν Σ 5 ἀρίστων ll. cum Σ: ἀριστέων Wakefield δέρος ll. praeter LΠ¹ et Σ contra Eustath. Il. p. 600. cf. 480

SCHOL. **1** | B τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς δέχονται, ὡς τὸ [Call. epigr. 17, 1] 'ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες', ἵν' ᾖ παράλληλον τὸ σχῆμα τῆς γραὸς συνεχέστερον ἀπευχομένης τῇ ἀφίξει τῆς Ἀργοῦς. ὁ δὲ ποιητὴς ῥῆμα αὐτὸ οἶδεν· 'οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη [Σ 367]'· 'μὴ ὄφελες λίσσεσθαι ἀμύμονα [Ι 698]'. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ περι- 5 παθῶς ἄγαν ἔχειν καὶ ταῖς ἐκβολαῖς εὖ κεχρῆσθαι. | B ἄλλως: ἐπαινεῖται ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν, εὖ δὲ καὶ [[τὸ]] ταῖς ἐκβολαῖς κεχρῆσθαι. πολὺ τὸ τοιοῦτον γένος παρ' Ὁμήρῳ. ὁ δὲ Τιμαχίδας τὸν τρόπον [[τῆς ποιήσεως]] ἀγνοήσας ποιητικὸν ὄντα τῷ ὑστέρῳ πρώτῳ φησὶ κεχρῆσθαι, ὡς Ὅμηρος [ε 264]· 'εἵματα δ' ἀμφιέσασα θυώδεα καὶ 10 λούσασα'. πρότερον γάρ φησι φῦναι τὰ δένδρα, εἶθ' οὕτως κατασκευασθῆναι τὴν Ἀργώ. ἢ ἀπὸ Ἄργου <τοῦ> ναυπηγήσαντος, οἱ δὲ διότι ἐταχυδρόμει· ἀργὸν γὰρ τὸ ταχύ· ἐντεῦθεν καὶ λήθαργος, ὁ τῇ λήθῃ ταχύς. καὶ πρώτην γε αὐτὴν ναυπηγηθῆναί φασιν, ἄλλοι δὲ τὴν ὑπὸ Δαναοῦ γεγενημένην. ἔστι δὲ ὑπέρθεσις ὁ τρόπος. τὰ γὰρ δεύτερα τῇ τάξει, 15 πρῶτα ὑπέθετο. | VB εἴθ' ὤφελε: περιφραστικῶς ἡ Ἀργώ· οὐκ

ὤφειλεν ἡ Ἀργὼ παρελθοῦσα τὰς Συμπληγάδας εἰς Σκυθίαν ἐλθεῖν. τὸ δὲ εἴθε ἐπίρρημα εὐκτικόν· 'εἴθ' ὣς ἡβώοιμι [Η 157]'· ἀεὶ δὲ προτάσσεται τῆς συντάξεως· τὸ δὲ ὤφελε ῥῆμα ᾧ ἀπαρέμφατον ἕπεται· 'ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακός [Γ 173]'. τὸ δὲ διαπτάσθαι 20 τροπικῶς ὡς ἐπὶ ὀρνέου. ἔδει δὲ εἰπεῖν διαπλεῦσαι. **2** | B Κόλχων ἐς Αἶαν: πόλις ἐν Σκυθίᾳ οὕτω καλουμένη. ἐν Κόλχοις. ὀνοματικῶς. | VB Συμπληγάδας: τὰς περὶ τὸ στόμα τοῦ Πόντου λέγει, αἳ δι' ἀπάτην τῆς ὄψεως δοκοῦσιν ὧδε κἀκεῖσε φέρεσθαι. | V ἄλλως: ταύτας ὁ Σιμωνίδης [frg. 22] Συνορμάδας φησίν. εἰσὶ δὲ πέτραι ἐπὶ τῷ 25 στόματι τοῦ Πόντου στεναὶ τὸ διάστημα, δι' ὧν ἔξεισιν ἡ θάλασσα ἀπὸ τοῦ Πόντου εἰς τὸν Ἑλλήσποντον. Ἐρατοσθένης δ' ἐν τῷ τρίτῳ τῶν Γεωγραφουμένων φησὶ περὶ αὐτῶν· 'καλοῦσι δὲ Συμπληγάδας οὕτως. καθ' ὃν καιρὸν ἄν τις πρὸς τὰ δεξιὰ ἐκκλίνῃ, σφόδρα φαντάζεται τὰς πέτρας συναγομένας, ὅταν δὲ κατὰ μέσον, ὁρᾷ διισταμένας καὶ ἔμπαλιν εἰς τὰ 30 ἀριστερὰ διαλλάξας ὁρᾷ συντρεχούσας'. τούτου δὲ πολλάκις γενομένου Συμπληγάδας αὐτάς φησι κεκλῆσθαι διὰ τὴν συνδρομὴν ⟨καὶ⟩ διάστασιν τῆς φαντασίας. οἱ δὲ νεώτεροι τὰς παρ' Ὁμήρῳ Πλαγκτὰς ὑπενόησαν εἶναι. | B τὰς Συμπληγάδας ὁ Σιμωνίδης Συνορμάδας φησίν. Ἐρατοσθένης δὲ ἐν γ̄ Γεωγραφουμένων φησὶ τὸν πλοῦν στενὸν εἶναι καὶ 35 σκολιόν, δι' οὗ φαντάζεσθαι τοὺς πλέοντας τὴν ἀπόκλεισιν τῶν πετρῶν. **4** | VB τμηθεῖσα πεύκη: συνεκδοχή, ἀπὸ μέρους τὸ πᾶν. ἀπὸ κοινοῦ δὲ τὸ ὤφελε· ⟨ὤφελε⟩ μὴ ἐρετμῶσαι ἡ Ἀργὼ τὰς τῶν ἀρίστων χεῖρας. | VB[i] κώπαις καθοπλίσαι τὰς χεῖρας τῶν ἀρίστων ἀνδρῶν. **5** | B[i] οἵτινες ἐπὶ τὸ πάγχρυσον δέρας ἀνῆλθον τοῦ ἀγαγεῖν αὐτὸ τῷ 40 Πελίᾳ. | B δέρας: τὸ δέρμα. τοῦτο οἱ μὲν ὁλόχρυσον εἶναί φασιν, οἱ δὲ πορφυροῦν. καὶ Σιμωνίδης ἐν τῷ εἰς Ποσειδῶνα ὕμνῳ [frg. 21] ἀπὸ τῶν ἐν τῇ θαλάττῃ πορφυρῶν κεχρῶσθαι αὐτὸ λέγει.

---

2 μὴ B νῆεσ B **4** κοτεσσάμενοσ B **5** ὠμύμ sscr. ο B **6** ὑπερβολαῖσ B cf. 8 **6** ss cf. ὑπόθεσις p. 4 **7** [[ ]] Matthiae **8** τίμαρχοσ B: em Elmsley ad ὑπόθεσιν l. c. **9** [[ ]] Dindorf **12** ⟨ ⟩ Arsenius **13—16** contulit Schw. etym. m. p. 136, 31 Tzetz. ad Lycophr. p. 856 schol. Apoll. Rhod. 1, 4 Diod. 4, 41, 3 Hyg. astr. 2, 37 Serv. Verg. ecl. 4, 34 **14** πρῶτον B: em Reitz. φησιν B **16** εἴθ' ὤφελε om B οὐκ ὤφελε παρ. V **17** σκύθην V **19** ᾧ Schw.: ὡσ VB **20** κακῶσ V **21** ἔδει—διαπλεῦσαι om V **22** ss ὀνομαστικῶσ· κυανέασ δὲ συμπληγάδασ eqs B λέγει om V **24** ἐνταῦθα κἀκεῖ B **24—36** cf. Tzetz. ad Lyc. 1285 p. 909 **25** συναρβώδασ V ἔστι V **27** ἑλίσποντον V **28** αὐτοῦ V **32** ⟨ ⟩ Cobet **34** τὰσ δὲ σ. B continuatis v. 23 s **35** ἐγγεωγραφουμένων B **37—39** post 21 exhibet V, συνεκδ.—πᾶν omissis **38** ὤφειλεν B ⟨ ⟩ Dindorf τῶν ἀρ. om V **39** χεῖρασ ἀντὶ τοῦ καθοπλίσαι ταῖσ κώπαισ τὰσ χεῖρασ (om. cett.) V **41** ss cf. schol. Apoll. Rhod. 4, 177. 1147. Robert Catasterism. 124

ABVL PFΠ[1]

οὐδ᾽ ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
πατέρα κατῴκει τήνδε γῆν Κορινθίαν 10
ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
φυγῇ πολιτῶν ὧν ἀφίκετο χθόνα,

ABVL PF

αὐτή τε πάντα ξυμφέρουσ᾽ Ἰάσονι·
ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ. 15
νῦν δ᾽ ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.
προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ᾽ ἐμὴν
γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ᾽, ὃς αἰσυμνᾷ χθονός·

10 post 10 lacunam statuit Usener **11** s inter se commutauerunt Schneidewin Usener **11** σὺν ll. praeter V τέκνοισιν ἁνδάνουσα (ἀνδ-) ll. cum Σ: τέκνοισι λανθάνουσα Nauck μὲν: πρὶν Steup **12** seclusit Kvičala φυλῇ Canter: ψυχῇ Verrall πολίταις sscr. V man. rec. φύσει πολίταις Jacobs **13** δὲ Stob. 74, 30: συμφέρουσ᾽ ll. praeter V **17** αὐτοῦ ll. praeter Haun. **18** συζεύγνυται Wecklein

SCHOL. **9** | B οὐδ᾽ ἂν κτανεῖν πείσασα: πολυάϊκός τις λόγος φέρεται τῶν φιλοσόφων, ὃν καὶ Παρμενίσκος ἐκτίθησιν, ὡς ἄρα πέντε τάλαντα λαβὼν παρὰ Κορινθίων Εὐριπίδης μεταγάγοι τὴν σφαγὴν τῶν παίδων ἐπὶ τὴν Μήδειαν. ἀποσφαγῆναι γὰρ τοὺς παῖδας Μηδείας ὑπὸ Κορινθίων παροξυνθέντων ἐπὶ τῷ βασιλεύειν αὐτὴν θέλειν διὰ τὸ τὴν Κόρινθον πατρῴαν αὐτῆς 5 λῆξιν εἶναι· ὃ μετήγαγεν ἐπὶ Μήδειαν. περὶ δὲ τῆς εἰς Κόρινθον μετοικήσεως Ἵππυς [frg. 3] ἐκτίθεται καὶ Ἑλλάνικος [frg. 34]. ὅτι δὲ βεβασίλευκε τῆς Κορίνθου ἡ Μήδεια, Εὔμηλος [frg. 3] ἱστορεῖ καὶ Σιμωνίδης [frg. 48]· ὅτι δὲ καὶ ἀθάνατος ἦν ἡ Μήδεια, Μουσαῖος ἐν τῷ περὶ Ἰσθμίων [FHG IV p. 518ᵃ] ἱστορεῖ, ἅμα καὶ περὶ τῶν τῆς Ἀκραίας Ἥρας ἑορτῶν ἐκτι- 10 θείς. | VB † οὐδ᾽ ἂν κτανεῖν: ὅτι ἡ Κόρινθος πατρῷον ἦν αὐτῆς κτῆμα τῷ λόγῳ τούτῳ. Ἀλωεὺς καὶ Αἰήτης ὁ τῆς Μηδείας πατὴρ παῖδες Ἡλίου καὶ Ἀντιόπης γεγόνασι. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαβεν ὁ μὲν Ἀλωεὺς τὴν ἐν Ἀρκαδίᾳ, τὴν δὲ Κόρινθον ὁ Αἰήτης. οὗτος οὖν μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βουνῷ μέν τινι Ἑρμοῦ παιδὶ παρέδωκε τὴν 15 πόλιν εἰπὼν φυλάσσειν αὐτὴν τοῖς ἐσομένοις ἐξ αὐτοῦ, αὐτὸς δὲ εἰς Κολχίδα ἀφικόμενος τῆς Σκυθίας ᾤκησε βασιλεύων. διδάσκει δὲ τοῦτο καὶ Εὔμηλος ποιητὴς ἱστορικὸς λέγων [frg. 2]· 'ἀλλ᾽ ὅτε δ᾽ Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ᾽ ἄνδιχα χώρην δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός' καὶ τὰ ἑξῆς. Βουνὸς δὲ Ἑρμοῦ καὶ νύμφης υἱὸς 20 γέγονεν. ταῦτα δὲ ἀπὸ τοῦ ἀνεπιγράφου ὑπομνήματος τοῦ εἰς Πίνδαρον [ol. 13, 74] ἔγραψα. | VB Πελιάδας κόρας: τὰς Πελίου θυγατέρας ἔπεισεν ἡ Μήδεια τὸν πατέρα σφάξαι καὶ ἑψῆσαι ὡς ἐσόμενον νεώτερον, ἑψήσασα πρότερον κριὸν καὶ ποιήσασα ἄρνα διὰ τῶν φαρμάκων.

11 | VB ἀνδάνουσα μέν: ἀνδάνουσα ἀντὶ τοῦ ἀνδανούσῃ. τὸ δὲ 25
πολιτῶν ἀντὶ δοτικῆς, τοῖς πολίταις. ἤρεσκε δὲ τοῖς Κορινθίοις, ἐπεὶ
λιμώττοντας αὐτοὺς ἐπῳδαῖς τισιν ἰάσατο, καὶ αὐτὴ δὲ ἠρέσκετο τῇ
Κορίνθῳ, ἐπεὶ λέγονται καὶ οἱ Κορίνθιοι φαρμακικοὶ εἶναι. τὰ δὲ ὅμοια
τοῖς ὁμοίοις φίλα εἶναι καὶ χαίρειν ἀλλήλοις ἴσμεν. | Bi τῇ ἀπὸ τῆς
Θετταλίας φυγῇ. ἀρεσκομένη τῷ πρὸς τοὺς Κορινθίους πεφευγέναι. 30
πολιτῶν γὰρ λέγει τῶν Κορινθίων. **13** | V συμφέρουσα ἀντὶ τοῦ
συμπράττουσα, ἀπὸ τοῦ συμπεριφέρεσθαι. **15** | Bi μὴ διχογνωμῇ.
ὅταν γυνὴ εὔνοιαν φυλάττῃ τῷ ἀνδρί. **16** | V ἐχθρὰ πάντα: τὰ
εἰς φιλίαν ἄγοντα. τὰ προσφιλῆ δὲ δυστυχεῖ. οὐχ ὑγιαίνει τὰ
ἀναγκαῖα καὶ ἡ προτέρα διάθεσις. | Bi τὰ εἰς φιλίαν ἄγοντα. ἢ τὰ 35
πρὸ τούτου προσφιλῆ. **19** | VV¹B αἰσυμνᾷ χθονός: αἰσυμνᾷ
ἡγεῖται καὶ ἄρχει. ἰδίως δέ φησιν Ἀριστοτέλης [frg. 524] ὑπὸ Κυμαίων
αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. Ὅμηρος [θ 258]· ʽαἰσυμνῆται δὲ
κριτοὶ ἐννέαʼ. ⟨λέγουσι δὲ καὶ⟩ τοὺς ⟨κριτὰς⟩ ἄρχοντας τῶν ἀγώνων. |
Bi αἰσυμνήτης βασιλεὺς ἐπιστάτης ἄρχων· οἱ δέ, τύραννος βραβευτὴς 40
πάρεδρος. | B ὅτι δὲ οἱ μὲν Ἱππότου, οἱ δὲ Κρέοντός φασι παῖδα
γαμῆσαι τὸν Ἰάσονα, προείπομεν. περὶ δὲ τῆς Κρέοντος θυγατρὸς οὐχ
ὁμοφωνοῦσι [[τῷ Εὐριπίδῃ]] οἱ συγγραφεῖς. Κλειτόδημος [frg. 10] μὲν γὰρ
Κρέουσάν φησι καλεῖσθαι, γήμασθαι δὲ Ξούθῳ· Ἀναξικράτης [frg. 2] δὲ
Γλαύκην. | B Μήδειαν ὑπὸ Ἀκάστου ἐκπεσοῦσαν σὺν Ἰάσονι Ἱππότης 45
ὑπεδέξατο Κρέοντος τοῦ Λυκαίθου. ὁ Λύκαιθος γάρ, ἐπεὶ Βελλεροφόντης
ᾤχετο, ἦρξεν ἔτη κζ, ἔπειτα Κρέων λε, εἶτα Ἱππότης. ἐπεὶ δὲ Ἰάσων
ἔγημε τὴν Ἱππότου θυγατέρα, τότε δὴ κτείνασα τοὺς παῖδας ἑαυτῆς ἀπαλ-
λάσσεται πρὸς Αἰγέα. ὅτι δὲ καὶ ἐβασίλευσε Κορίνθου, ἱστοροῦσιν Εὔμηλος
[frg. 3] καὶ Σιμωνίδης, λέγων οὕτως [frg. 48]· ʽοὐδὲ κάτʼ [[εἰς Κόρινθον]] 50
οὐ Μαγνησίαν ναῖεν· ἀλόχῳ δὲ Κολχίδι συνάστεος θράνου Λεχαίου τʼ ἄνασσεʼ.

---

1 ss cf. Ael. uar. hist. 5, 21 **5** αὐτῶν B: em Schw. **6** ὅ Schw.: ὃν B **7** ἱππεὺς B: em Vossius **8** s cf. Paus. 2, 3, 10 **11—22** praescripto ἰστέον in fine scholl. Hippolyti B **11** s αὐτῆσ κτῆμα V: κτ. μηδείασ B **12** τούτω τῶ λόγω V ὁ π. τ. μ. B **14** μὲν om V τὴν ἀρκαδίαν B ὁ om B **15** παραδέδωκε B **17** βασιλεὺσ V **20** s Βουνὸς — γέγονεν om B **21** s ταῦτα — ἔγραψα om V **22** ἔγραψεν B: em Schw. Π. κ. om B πελίου θ. B: πελιάδασ κόρασ V **24** ss φαρμάκων· τὸ δὲ ἁ. μὲν· ἀνδάνουσα ὀρθὴ ἀντὶ τῆσ δοτικῆσ ἀ. τ. ἀ. ἤρεσκε δὲ om. cett. B **26** ἐπειδὴ B **27** καὶ — **29** ἴσμεν om V¹ **28** φαρμακοὶ B: em Schw. **29. 31** ἴσμεν· συμφέρουσα δὲ V **36** αἰ. χθ. om B **36—39** cf. etym. magn. p. 39, 12 Hesych. s. u. αἰσυμνᾷ **36** s αἰσυμνᾶν (-ῶν V¹) ἐστὶ τὸ ἡγεῖσθαι καὶ ἄρχειν V¹B **37** s cf. argum. Soph. Oed. Tyr. **37** δέ φησιν om V¹ ὑποκειμένων V **38** s Ὅμηρος — ἀγώνων om V **39** θ B: θεὶσ V ⟨ ⟩ ⟨ ⟩ Schw. ἀγώνων· ὅτι οἱ μὲν ἱππότου V **40** s Schw. contulit schol. Ω 347 θ 258 Apollon. soph. p. 18, 3 etym. magn. p. 39, 24 Gud. p. 22, 26. 38 Zon. p. 72 lex. Bachm. p. 48, 22 (= Suid. s. u. αἰσυμνῆται) Hesych. s. u. αἰσυμνῆται Suid. s. u. αἰσυμνητήρ **41—45** continuant ἀγώνων (39) B **42** προείπομεν: loco iam deperdito. cf. Diod. 4, 55, 5 **43** [[ ]] Schw. **50** οὐδὲ κάτʼ B: corrupta [[ ]] Wil. **51** οὐ ex οὐδὲ B¹ ἀλόχου B: em Schw. ξὺν ἄστεος κραναοῦ temptauit Schw.

ABVL PF

Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη 20
βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιάς,
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον, 25
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
οὔτ' ὄμμ' ἐπαίρουσ' οὔτ' ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων·
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην 30
αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώξῃ φίλον
καὶ γαῖαν οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
μετ' ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός. 35
στυγεῖ δὲ παῖδας οὐδ' ὁρῶσ' εὐφραίνεται.
δέδοικα δ' αὐτὴν μή τι βουλεύσῃ νέον·
βαρεῖα γὰρ φρήν, οὐδ' ἀνέξεται κακῶς
πάσχουσ'· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν.
[[μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος, 40
σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος,

ABV LP

ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ
κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.]]
δεινὴ γάρ· οὔτοι ῥᾳδίως γε συμβαλὼν

---

21 ὅρκουσ V: A^1 a. corr. δεξιᾶσ AVL^1F contra BP cum Σ Arist. nub. 81 **24** ἀλγηδόνι BΣ ad u. 97 **25** συντείνουσα γρ. ΣB χρόνον: βίον Blaydes: χρόα Housman **26** proscripsit Usener **30** ἣν V^1 a. corr.: A contra ΣB: ἢ V^1 e corr. μὴ sscr. δ L^1 **30** δέρην: κάρα L **31** αὐτὴν ll. praeter LB^2 ἀποιμώζῃ F: -ζει AV **35** μὴ 'πολείπεσθαι LP **37** κακόν ll. praeter ALP: V^3 **38—43** damn. Dindorf Heimsoeth, **40—43** Nauck, **41** Musgrave, **41—43** G. Herm. cf. 379. 380 **39** cf. Tro. 894 τέ: δέ LP **42** τόν τε ll. praeter V^1 et ut uid. L^1, qui τόνδε **44** οὔτι LP: A^1 a. corr.

SCHOL. **24** | Bi ἐνδοῦσα ταῖς λύπαις. **25** | Bi γράφεται καὶ συντείνουσα. | VB τὸν πάντα συντήκουσα: ἀνενδότως κλαίουσα. ἀντὶ τοῦ· συντηκομένη δὲ τὸν πάντα χρόνον, οἷον· συνεχῶς κλαίουσα καὶ ἄνεσιν οὐ λαμβάνουσα. **27** | VBi οὔτ᾽ ὄμμ᾽ ἐπαίρουσα: ἀντὶ τοῦ· σύννους καὶ σκυθρωπὴ οὖσα οὐκ ἀκούει. **29** | VgBi κλύδων: ἡ πολλὴ τοῦ ὕδατος χύσις. | B ἀκούει: ἀντὶ τοῦ· οὐκ ἀκούει ὡς οὐδὲ ταῦτα. τὸ δὲ δέρην ἐὰν μετὰ τοῦ ῑ, ὀξυτόνως δειρήν· εἰ δὲ χωρὶς τοῦ ῑ, βαρυτόνως δέρην. **30** | Bi ἐὰν μὴ πολλάκις. **33** | Bi ὅς σφε: τὸ χ̄ ὅτι κακῶς τῷ σφε ἐχρήσατο· ἔδει γὰρ εἰπεῖν αὐτήν. | B ἀτιμάσας ἔχει: Ἀττικῶς, ἀντὶ τοῦ ἠτίμασε. τὸ γὰρ ἔχει ἐκ περισσοῦ. Σοφοκλῆς [frg. 806] 'παῖδας γάρ, οὓς ἔφυσ᾽, ἀναλώσας ἔχει' καὶ πάλιν [frg. 807] 'εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω'. **35** | VB οἷον πατρῴας: οἷον ἀγαθὸν τὸ μὴ λείπεσθαι τῆς πατρίδος. καὶ Ὅμηρος [ι 34] 'ὡς οὐδὲν γλύκιον ἧς πατρίδος'. **38** | Bi βαρουμένη καὶ λυπουμένη. **39** | Bi ἐγὼ οἶδα οἷα ἐστὶ τὸν νοῦν, εὐλαβοῦμαί τε αὐτήν. **40** | VB μὴ θηκτὸν ὤσῃ: ἐπὶ τῶν παίδων ἀκουστέον. καὶ γάρ φησι στυγεῖ δὲ παῖδας οὐδ᾽ ὁρῶσ᾽ εὐφραίνεται. δύναται δὲ καὶ ἐπὶ αὐτῆς ἀκούεσθαι. | VB οὐ τοῦ αὐτῆς ἥπατος, ἀλλὰ τῶν παίδων. προεῖπε γὰρ στυγεῖ δὲ παῖδας. ἔθος δέ ἐστιν αὐτῷ προλέγειν τὰ μέλλοντα. ὁμοία δὲ ἡ ἀμφιβολία παρ᾽ Ὁμήρῳ [Σ 34]· 'δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ'. **41** | VgBi εἰς τοὺς ἑαυτῆς δόμους εἰσβᾶσα. **42** | B τύραννον: τὸν Κρέοντά φησι. τὸ δὲ ἑξῆς· ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ· δεινὴ γάρ. συμφορὰν δὲ λάβῃ οἱονεί· μείζονι κακῷ περιπέσῃ πρὸς τῷ ἤδη μεμισῆσθαι ὑπὸ Ἰάσονος. | Vg θηλυκῶς, τὴν Γλαύκην. **43** | V μείζω συμφοράν: αὐτὴ ἑαυτὴν φονεύσῃ. | V ἄλλως: τῆς νῦν παρούσης δυστυχίας, ἀντὶ ⟨τοῦ⟩· καὶ τοὺς παῖδας φονεύσῃ [[κἂν τὸν τύραννον]]. νῦν γὰρ [[κἂν]] ἀδίκως μισεῖται ὑπὸ Ἰάσονος.

---

2 τ. π. σ. om B **2s** κλαίουσα V: δακρύει B **3s** δὲ et καὶ om B **4** λαμβάνει B **5** οὖσα οὐκ ἀ. om Bi **5s** cf. Hesych. s. u. **7s** cf. etym. magn. p. 262, 53 **10ss** cf. schol. Or. 451 **13** *l* V: λείπει τὸ ἀγαθὸν B **13s** τὸ — καὶ om B **14** γλυκὺ ἢ V πατρίδοσ οὐδὲ το sscr. κ B **16** *l* B: μή τι βουλεύσῃ κακόν V τοὺσ παῖδασ V **17s** οὐδ᾽ — ἀκούεσθαι om V **18** ἀκούεσθαι· ὁ δὲ εὐριπίδησ τὰ μέλλοντα ἀναφωνεῖ· ὁμοία δὲ ἡ ἀμφιβολία καὶ παρ᾽ ὁ. — σιδήρωι (cf. v. 21) B **18s** οὐ — παίδων V: καὶ τὸ διὰ τοῦ ἥπατοσ δὲ τῶν παίδων λέγει B **19** εἶπε B ἐστιν αὐτῶι B: αὐτὰ V **19s** πρ. τὰ μ. Schw.: τὰ μ. λέγειν V: ὡσ εἴρηται προλ. τὰ μ. B **20s** ὁμοία — σιδήρῳ om B (cf. ad 18) **20** ὁμοία: ὅμηροσ V δέδιε V **25s** αὐτὴν ἑαυτὴν φονεῦσαι V **26** ἀλλὰ V: em Schw. παρούσης — ⟨τοῦ⟩ Wil.: ἀντιπαρούσησ δυστυχίασ V **27** φονεύσει V [[ ]] [[ ]] Schw. μισῆται V

ABV LP

ἔχθραν τις αὐτῇ καλλίνικον οἴσεται. 45
ἀλλ᾽ οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

ΠΑΙ. παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ᾽ ἄγουσ᾽ ἐρημίαν 50
ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει;

ΤΡ. τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται. 55
ἐγὼ γὰρ εἰς τοῦτ᾽ ἐκβέβηκ᾽ ἀλγηδόνος,
ὥσθ᾽ ἵμερός μ᾽ ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολούσῃ δεῦρο δεσποίνης τύχας.

ΠΑΙ. οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;

ΤΡ. ζηλῶ σ᾽· ἐν ἀρχῇ πῆμα κοὐδέπω μεσοῖ. 60

ΠΑΙ. ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·
ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.

ΤΡ. τί δ᾽ ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.

ΠΑΙ. οὐδέν· μετέγνων καὶ τὰ πρόσθ᾽ εἰρημένα.

ΤΡ. μή, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν· 65
σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.

---

45 ᾄσεται Muretus **49** παιδαγωγόσ ALP: πρεσβύτησ καὶ π. B: πρεσβύτησ V, qui u. 59. 80. 85 praefixit παιδγ., 64. 67. 76 πρε., ut A 67. 76. 80. 85, B ubique. cf. ad 1002 οἰκούρημα Wakefield **50** ταῖσδ᾽ Scaliger **51** οὕτω Wecklein **53** ὁπαδὲ VB **54** συμφορὰ LP **55** πιτνόντα VP: -ῶντα AB[1]: -οῦντα LB[2] **57** μοὐπῆλθε Meineke: μοὐσῆλθε Wecklein **58** μολοῦσαν LV[3] δεσποίνησ AB Σ Phoen. 1: sscr. V[1]: μηδείασ VLP cum Enn. trag. 257 s V. **62** nutrici tribuit Σ, qui usque ad u. 80 nutricis uerba paedagogo dat, paedagogi nutrici **64** τὰ om A

SCHOL. **46** | B i τῶν γυμνασίων τῶν δρόμων, βαρυτόνως. | B ἐκ τρόχων: βαρυτόνως, ὡς νόμων. Ἀριστοφάνης [frg. 637] ʻβαδίζει μοι τὸ μειράκιον ἐξ ἀποτρόχων᾽. ὡς ἀπὸ γυμνασίας οὖν ἐλθόντας τοὺς παῖδας.

[**51**] θρεομένη δὲ ἤγουν συννοουμένη, ὁμιλοῦσα. εἴρηται δὲ ἀπὸ τοῦ θροῦ. Ὅμηρος [Δ 437] ‛οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς'. ἢ δια- 5
λεγομένη, παρὰ τὸν θροῦν. **48** | VB[i] ἡ γὰρ τῶν νέων διάνοια πονεῖν ἢ λυπεῖσθαι οὐ φιλεῖ. οἱ γὰρ νέοι ἔξω πάσης φροντίδος καὶ ἀνίας εἰσί. **49** | B[i] ἀντὶ τοῦ παλαιὰ θεράπαινα. **52** | VB[i] πῶς σοῦ μόνη: διὰ τί μόνη σου ἡ Μήδεια ἀπολείπεσθαι θέλει. **53** | V ὀπαδὲ πρέσβυ: ὦ πρέσβυ ὀπαδὲ τῶν Ἰάσονος τέκνων, τοῖς χρηστοῖς δούλοις 10
συμφορὰς φέρει καὶ ὀδύνας τὰ τῶν δεσποτῶν κακῶς πίπτοντα, ἢ συμβαίνοντα. **54** | B τοῖς χρηστοῖς δούλοις τὰ τῶν δεσποτῶν κακῶς πίπτοντα συμφορὰν φέρει καὶ ὀδύνας. κακῶς ἐπιπίπτοντα, εἰς κακὸν ἀποβαίνοντα τὰ τῶν δεσποτῶν. | B[i] ὁ στίχος καὶ ἐν Βάκχαις [1028] κεῖται. **56** | VB ἐγὼ γὰρ εἰς τοῦτ' ἐκβέβηκα: οὕτω, φησί, 15
πέπληγμαι τὴν ψυχὴν ὑπὸ τῶν κακῶν τῶν κατὰ τὴν Μήδειαν, ὡς ἀφιέναι εἰκῇ λόγους εἴς τε τὴν γῆν καὶ τὸν ἀέρα, ἀποδυρομένη τὰς ἐκείνης τύχας. οὐρανὸν γὰρ λέγει νῦν τὸν ἀέρα. οἱ δὲ στενοχωρούμενοι ὑπὸ τῶν κακῶν τῷ οὐρανῷ ἢ τῷ ἡλίῳ ἢ ἄλλῳ τῳ θεῷ ἀφηγοῦνται τὰ καθ' ἑαυτοὺς πράγματα. **57** | VB ὥσθ' ἵμερός μ': καλῶς ὁ Εὐριπίδης μεμί- 20
μηται τοὺς ἐν μεγάλαις δυστυχίαις ἐξεταζομένους καὶ μηδενὶ τῶν ἀνθρώπων θαρροῦντας ἀπαγγεῖλαι τὰ δυστυχήματα ἢ διὰ φόβον δεσποτῶν ἢ διά τινα χρείαν συμφέρουσαν τοῖς πράγμασιν. οὗτοι γὰρ σιωπᾶν τὰς συμφορὰς μὴ δυνάμενοι καὶ λέγειν ἀνθρώποις φοβούμενοι, οὐρανῷ ἢ ἡλίῳ ἢ γῇ ἢ θεοῖς ἄλλοις διηγοῦνται. **58** | VB λέξαι μολούσῃ: τὸ σχῆμα σολοικο- 25
φανὲς διὰ τὴν ἐναλλαγὴν τῆς πτώσεως. μολούσῃ γὰρ ἀντὶ τοῦ μολοῦσα. **60** | B ζηλῶ σε: ἠθικῶς, ὡσεὶ εἶπεν· μακάριος εἶ τοιαύτην διάνοιαν ἔχων. | B ἄλλως: θαυμάζω σε πῶς οὐκ ἔγνωκας· αὖθις γὰρ ἀρχὴν εἴληφε τὸ κακὸν καὶ οὐδὲ εἰς μεσότητα προῆλθε· τοσοῦτον ἀπέχει τοῦ πεπαῦσθαι τὸ κακόν. ἐν ἤθει δὲ εἴρηται, οἷον· μακάριος εἶ τοιαύτην 30
ἔχων διάνοιαν· τὸ γὰρ κακὸν οὐ μόνον οὐ λήγει, ἀλλ' οὐδὲ μεσάζει, οἷον ἀκμάζει. τὸ δὲ μεσοῖ τρίτης συζυγίας. **61** | B[i] λείπει ἡ εἰς, εἰς δεσπότας. **63** | B[i] ἀντὶ τοῦ· ὦ γεραιά, ὡς τὸ [ε 422] ‛κλυτὸς Ἀμφιτρίτη'. **64** | B[i] λείπει ἡ διά.

1—3 cf. etym. magn. p. 769, 52 (Zon. p. 1771) Phot. = lex. Bachm. p. 390, 30 τρόχον Hesych. s. u. τρόχων Ammon. p. 137 Eust. p. 1517, 60 **5** ὁμῶσ B **7** ἀνίας Wil.: κακίασ VB[i] **9** καταλ. θέλει ἡ μ. B[i] **11** φέρεται V **15—20** scholio 25s adi. B ab οὕτω δὲ φησὶ πέπληγα exorsus **16** τὴν om B **17** εἰκῇ om B **18** τῶν om B **19** ἄ. τ. θ. Schw.: ἄλλω τῶν θεῶν V: τινι ἄλλωι θεῶι B ὑφηγοῦνται B: -εῖται V: em Schw. καθ' ἑ. om V **20** ὥσθ'—Εὐριπίδης om B **20s** μεμίμηται B: ὑφηγεῖται ἢ προσμέμνηται V **22** θ. ἀ. B: ἐθέλοντασ εἰπεῖν V **24** ἢ γῇ om V **25** ἄλλοις om V **26** μολούσῃ—μολοῦσα om B

ABV LP

ΠΑΙ. ἤκουσά του λέγοντος οὐ δοκῶν κλύειν,
πεσσοὺς προσελθών, ἔνθα δὴ παλαίτατοι
θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας 70
σὺν μητρὶ μέλλοι τῆσδε κοίρανος χθονὸς
Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε
οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.

ΤΡ. καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει; 75

ΠΑΙ. παλαιὰ καινῶν λείπεται κηδευμάτων,
κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.

ΤΡ. ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.

ΠΑΙ. ἀτὰρ σύ γ', οὐ γὰρ καιρὸς εἰδέναι τόδε 80
δέσποιναν, ἡσύχαζε καὶ σίγα λόγον.

ΤΡ. ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ;
ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ' ἐμός·
ἀτὰρ κακός γ' ὢν εἰς φίλους ἁλίσκεται.

ΠΑΙ. τίς δ' οὐχὶ θνητῶν; ἄρτι γιγνώσκεις τόδε, 85
ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
[[οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν,]]
εἰ τούσδε γ' εὐνῆς οὕνεκ' οὐ στέργει πατήρ.

---

68 θώκους Christ. pat. 1181 contra Σ παλαίτεροι Christ. l. c. **71** μέλλει ll. praeter AV **73** τάδε V man. rec. et Christ. pat. 1186 **74** ἀνέξεται A **77** ἐκεῖνα . . . φίλα Tournier **78** προσάψομεν Blaydes **80** τάδε LP ἡμᾶσ LP **84** γ' om ll. praeter LP **85** γινώσκει P: V[1] v. l.: sscr. B[2]: καὶ χωρὶσ τοῦ σ̄ καὶ μετὰ τοῦ σ̄. cf. Σ ad l. **87** proscripsit Brunck cum Σ, simul cum 88 Hartung

---

SCHOL. **67** | VB ἤκουσά του λέγοντος: ἤκουσα, φησί, τινὸς λέγοντος τῶν ὠτακουστῶν προσποιουμένη μὴ ἀκούειν. | B πεσσούς δέ, ἐπεὶ ἀπὸ τῶν ἐν τοῖς τόποις ὠνόμαζον τοὺς τόπους· πεσσούς γὰρ νῦν τοὺς τόπους τῶν κυβευτῶν, ὡς ὄψον καὶ μύρα ἔνθα ταῦτα συνήθως ἐστίν. ὅπου, φησίν, εἰθισμένοι εἰσὶ πεσσεύειν, προσελθὼν ἤκουσα, ἀντὶ τοῦ προ- 5

σελθοῦσα. καὶ τὸ οὐ δοκῶν, ἀντὶ τοῦ οὐ δοκοῦσα. **69** | Bi καθέζονται. | VB Πειρήνη, κρήνη ἐν Κορίνθῳ, ἣν Ἀσωπὸς εὗρεν Ὠκεανοῦ παῖς χαριζόμενος Σισύφῳ τῷ Κορινθίῳ σπανίζοντι ὕδατος, ὅτι αὐτῷ Αἰγίνης τῆς θυγατρὸς τὴν ὑπὸ Διὸς ἐμήνυσεν ἁρπαγήν. **75** | Bi ἔχθραν. **76** | Bi λείπεται: ἡττᾶται ἐλαττοῦται. **77** | B κοὐκ ἔστ' ἐκεῖνος: Ὅμηρος ἐπὶ τῆς γυναικὸς ἔλαβεν [ο 21] 'κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίοι'. ἔξωθεν δὲ τὸ ἔτι· καὶ οὐκ ἔστιν ἐκεῖνος ἔτι φίλος τοῖσδε δώμασιν. **78** | B παλαιὸν κακὸν τὸ διὰ τὸν Πελίου θάνατον ἐκβεβλῆσθαι Θετταλίας ὑπὸ Ἀκάστου τοῦ παιδὸς Πελίου ἢ τὸ καταλειφθῆναι αὐτὴν ὑπὸ Ἰάσονος, ὃ καὶ μᾶλλον· νέον δὲ τὸ ἐκβληθῆναι τῆς Κορίνθου. τὸ δὲ ἐξηντληκέναι ἀντὶ τοῦ πεπαῦσθαι· ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ἀντλούντων. | Bi τὸ ἑξῆς· εἰ πρὸς παλαιῷ. **81** | Bi τὸ ἑξῆς· ἀτὰρ σύ γ' ἡσύχαζε. **84** | V ἀτὰρ κακὸς ὤν: ἀρκεῖ αὐτῷ τοῦτο πρὸς τιμωρίαν. ἁλίσκεται δέ, φωρᾶται ἐλέγχεται. | Bi εὑρίσκεται κακὸς ὢν πρὸς τοὺς φίλους. ἕως τούτου δὲ ἡ πρεσβῦτις, τὰ ἑξῆς ὁ πρεσβύτης. | B οὕτως ἀναγνωστέον τίς δ' οὐχὶ θνητῶν καὶ στικτέον, εἶτα ἀπὸ ἄλλης ἀρχῆς ἄρτι γινώσκεις τόδε. διὸ καὶ μετὰ τοῦ σ̄ γραπτέον, οἷον· τίς οὐκ ἔστι κακὸς εἰς φίλους, εἶτα τὸ ἄρτι γινώσκεις τόδε, οἷον· ἄρτι ἔγνωκας ὅτι ἑαυτοὺς μᾶλλον φιλοῦσιν ἢ τοὺς πέλας; οἱ δὲ ὑποκριταὶ [[τοῦτο]] ἀγνοήσαντες τὸ τῆς ἀντιδιαστολῆς μετατιθέασιν εἰς τὸ τίς δ' οὐχὶ θνητῶν τοῦτο γινώσκει σαφῶς. τῇ δὲ διανοίᾳ ταύτῃ καὶ ἐν Κρεσφόντῃ κέχρηται οὕτως [frg. 452]· 'ἐκεῖνο γὰρ πέπονθα ὅπερ πάντες βροτοί· φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι'. | V τίς δ' οὐχὶ θνητῶν: τίς τῶν ἀνθρώπων, φησί, οὐχὶ μᾶλλον ἑαυτὸν βούλεται εὐπραγεῖν τῶν φίλων; οὐ μόνος οὖν ὁ Ἰάσων τοῦτο πεποίηκε. τίς, φησί, τῶν ἀνθρώπων οὐκ ἐστὶ κακὸς περὶ φίλους; εἶτα τὸ ἄρτι γινώσκεις, ἄρτι ἔγνωκας. | V ἄλλως: ἢ τίς οὐ κακὸς περὶ φίλους πρὸς τὸ ἑαυτοῦ συμφέρον. καὶ ἐν Κρεσφόντῃ· 'φιλῶν μάλισθ' ἑαυτὸν οὐκ αἰσχύνομαι'. οὕτω δὲ ἀναγνωστέον· τίς δ' οὐχὶ θνητῶν καὶ στικτέον, εἶτα ἀπ' ἄλλης ἀρχῆς ἄρτι γινώσκεις τόδε. **87** | VB οἱ μὲν δικαίως: ⟨ὅτι⟩ περισσῶς ὁ στίχος πρόσκειται, ἐπεξεργασίαν περιέχων καὶ ὅτι προκειμένου ἑνικοῦ τοῦ τίς ἐπήνεγκε τὸ οἱ μέν. καὶ ὁ πρότερος δὲ σεσημείωται, ὅτι παροιμιώδης. ὁ δὲ νοῦς· πᾶς ἑαυτὸν τοῦ πέλας μᾶλλον φιλεῖ * *. | Bi αἰσχροκερδία⟨ς⟩.

---

1 *l* om B **2** τῶν ὠ. om V προσποιούμενοσ V **7** ss cf. Paus. 2, 5, 1 **8** παῖς om V κορίνθω V **8** s αὐτῷ — θυγατρὸς om V **11** s ὀφέλλειν οἶκον B **25** [[ ]] Schw. **27** κρεοφόντη B **33** κρεωφον sscr. τ V φίλων V **35** γινώσκει V **35** s *l* om B **36** ⟨ ⟩ Reitz. περισσὸσ B: om V: em Wil. πρόκειται V: πρόσκειται ὁ τὴν B **38** ὁ δὲ — **39** φιλεῖ om B **39** lac. indic. Schw.

ABV LP

ΤΡ. ἴτ᾽, εὖ γὰρ ἔσται, δωμάτων ἔσω, τέκνα.
σὺ δ᾽ ὡς μάλιστα τούσδ᾽ ἐρημώσας ἔχε 90
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
τοῖσδ᾽ ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
χόλου, σάφ᾽ οἶδα, πρὶν κατασκῆψαί τινα.
ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι. 95

ΜΗ. ἰώ,
δύστανος ἐγὼ μελέα τε πόνων,
ἰώ μοί μοι, πῶς ἂν ὀλοίμαν;

ΤΡ. τόδ᾽ ἐκεῖνο, φίλοι παῖδες· μήτηρ
κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
σπεύσατε θᾶσσον δώματος εἴσω, 100
καὶ μὴ πελάσητ᾽ ὄμματος ἐγγύς,
μηδὲ προσέλθητ᾽, ἀλλὰ φυλάσσεσθ᾽
ἄγριον ἦθος στυγεράν τε φύσιν
φρενὸς αὐθάδους.
ἴτε νῦν χωρεῖθ᾽ ὡς τάχος εἴσω. 105
δῆλον δ᾽ ἀρχῆς ἐξαιρόμενον
νέφος οἰμωγῆς ὡς τάχ᾽ ἀνάψει
μείζονι θυμῷ· τί ποτ᾽ ἐργάσεται
μεγαλόσπλαγχνος δυσκατάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν; 110

ΜΗ. αἰαῖ,
ἔπαθον τλάμων ἔπαθον μεγάλων
ἄξι᾽ ὀδυρμῶν· ὦ κατάρατοι

---

89 personae notam om A γὰρ εἴη A. Roemer εἴσω ll. praeter AV **90** πρε. tribuit B. cf. ἐρημώσασ᾽ A σύ θ᾽ LP ἔχει A **94** χόλος ... πρίν, κατασκήψας, τινὰ ... Hoffmann τινι Blomfield **96** ὦ Σ Arist. pac. 1012 δύστηνος VLP **98** μάτηρ LP **99** χολὴν Wecklein **100** σπεύδετε AVB θᾶττον A **102** καὶ μὴ προσέλθετ᾽ A φυλάσσετε L[1] in ras **106** δ᾽ ἀρχῆσ AVBL[2]: ἐξ sscr. V[1]: δ᾽ ἐξ ἀρχῆσ P: L[1] a. corr. δ᾽ ὀργῆς Witzschel (cf. Σ) **107** οἰμωγαῖς Pluess contra Σ ἀνάξει L (cf. Σ): ἀνάξει Elmsley **109** μελανόσπλαγχνος Herwerden

110 κακοῖσι(ν) L. Galen. Hipp. et Plat. 5 p. 318 Stob. 20, 30: κακοῖσ ἡ τῆσ μηδείας rell. **111** αἶ αἶ P: αἰ αἰ L: ἒ ἒ αἶ αἶ V: ἒ ἒ ἒ ἒ A: ἒ ἒ B τλήμων A¹VB alterum ἔπαθον om LP

Schol. **89** | B ἴτ'· εὖ γὰρ ἔσται: τὸ ἑξῆς· ἴτε δωμάτων εἴσω, τέκνα. τὸ δὲ εὖ γὰρ ἔσται εὐχομένη λέγει, τουτέστιν· ἐπὶ καλῷ δὲ ἀποβαίη εἰσελθεῖν ὑμᾶς. **90** | Bi χωρίσασα τῆς μητρὸς ἀπόκρυφον. **92** | Bi ἀγριουμένην καὶ διὰ τοῦ βλέμματος τὸ ὀργίλον ἐπιδεικνῦσαν. οἷον· ὡς ταῦρον, θυμικὸν καὶ φοβερὸν ὁρῶσαν, ἄστοργον καὶ οὐχὶ μητρικόν· 5 **93** | B δρασείουσαν: ἀντὶ τοῦ δράσουσαν· ἔστι δὲ Ἀττικόν. καὶ Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ [585] ὦ δέσποτ' Αἴας, τί ποτε δρασείειν δοκεῖς'. **94** | B κατασκῆψαι δὲ ἀντὶ τοῦ βλάψαι, ἀπὸ τοῦ κεραυνοῦ τοῦ σκηπτοῦ, οἷον κεραυνῶσαι. **96** | Bi τάδε λέγει ἡ Μήδεια ἔσω οὖσα, οὐδέπω ἐκκεκυκλημένη. **97** | VB ἰώ μοί μοι: ἀσύμφωνα ταῦτά 10 ἐστι τοῖς ὑπὸ τῆς πρεσβύτιδος εἰρημένοις ὅτι ἄφωνος κάθηται. καὶ ἐν αὐτῷ δὲ τῷ προλόγῳ τὸ μαχόμενόν ἐστι· Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη βοᾷ μὲν ὅρκους [20] καὶ τὸ ἑξῆς, εἶτα μετ' ὀλίγον [24] κεῖται δ' ἄσιτος σῶμ' ὑφεῖσ' ἀλγηδόνι, οὔτ' ὄμμ' ἐπαίρουσ' οὔτ' ἀπαλλάσσουσα γῆς πρόσωπον. ταῦτα λέγει ἔνδοθεν καὶ 15 οὐκ ἐν φανερῷ, ἡ δὲ φωνὴ μόνη ἐξάκουστος γίνεται. | Bi ἀντὶ τοῦ· ποίῳ τρόπῳ ἐμαυτὴν ἀνέλω. **98** | Bi τοῦτο ἐκεῖνό ἐστιν, ὃ ἔλεγον. **105** | Bi πρὸς τοὺς παῖδας. **106** | B δῆλον γάρ ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς οἰμωγῆς ὅτι ἀνάψει. ἢ οὕτως· τοῦτο γὰρ τὸ ἐξ ἀρχῆς ἐξαιρόμενον νέφος τῆς οἰμωγῆς δῆλον ὅτι <μέλλει κεραυνοῦ> δίκην ἐγκατασκῆψαί 20 τινι καὶ μέγα τι κακὸν κατεργάσασθαι. ἐὰν δὲ γράφηται ἀνάξει, οἷον· ἐπιπολὺ ἀνάξει τὰ τῆς ὀργῆς, οἷον ἄνω ἄξει, εἰς ὕψος ἀνατενεῖ, ὅ ἐστιν αὐξήσει τὸν θυμόν, ἐξ οὗ πάλιν δῆλον, ὡς αὐξανομένη ἐπὶ πολὺ ἡ ὀργὴ πάντως δεινόν τι ἐργάσεται. | V δῆλον δ' ἀρχῆς: δῆλον ὅτι τὸ ἐξ ἀρχῆς ἐπαιρόμενον πλῆθος τοῦ θρήνου [[ὡς]] ἀνάψει τι καὶ καύσει. | 25 V ἄλλως: ἀπ' ἀρχῆς δὲ τὸ νέφος τῆς οἰμωγῆς ἐξαιρόμενον δῆλόν ἐστιν ὅτι ταχέως εἰς μεῖζον κακὸν ἀνάξει καὶ αὐξηθήσεται. **107** | Bi τὸ σύστημα τῆς οἰμωγῆς ἀνάγεσθαι καὶ αὔξεσθαι μέλλει. **110** | Bi λυπηθεῖσα. **112** | V ὦ κατάρατοι παῖδες: ἑωρακυῖα τοὺς παῖδας εἰσιόντας ἅμα τῷ παιδαγωγῷ ἀναβοᾷ· ὦ παῖδες <μητρὸς> στυγερᾶς δρώσης 30 ὄλοισθε σὺν τῷ πατρί· τοῦτο γάρ ἐστι τὸ ἑξῆς τοῦ λόγου.

---

3 ἡμᾶσ B **7** δρασείεις φρενὶ Soph. codd. **10** ἐκκεκλημένη Bi: em Schw. **11** λεγομένοισ V λέγεται καθῆσθαι B καὶ ἐν B: ἐὰν V **12** τὸ — ἐστι om V **12s** ἠτιμωμένη V **13** εἶτα — ὀλίγον om B **14** ἀλγηδόνοσ V **14s** οὔτ' ὄμμ' — πρόσωπον B: καὶ ἑξῆσ V **15** ταῦτα δὲ λ. B **16** φωνὴ μόνον V: φωνῆι μόνηι B **20** < > Schw. Wil.: τὸ B **22** ἀνατείνει B: em Dindorf **24** πάντων B **25** [[ ]] Wil. **30** < > Schw. δρῶσα V: em Schw.

ABV LP

παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
σὺν πατρί, καὶ πᾶς δόμος ἔρροι.

ΤΡ. ἰώ μοί μοι, ἰὼ τλήμων. 115
τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι,
τέκνα, μή τι πάθηθ' ὡς ὑπεραλγῶ.
δεινὰ τυράννων λήματα καί πως
ὀλίγ' ἀρχόμενοι πολλὰ κρατοῦντες 120
χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν
κρεῖσσον· ἐμοὶ γοῦν, ἐν μὴ μεγάλοις,
ὀχυρῶς γ' εἴη καταγηράσκειν.
τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν 125
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
λῷστα βροτοῖσιν· τὰ δ' ὑπερβάλλοντ'
οὐδένα καιρὸν δύναται θνητοῖς·
μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
δαίμων, οἴκοις ἀπέδωκεν. 130

---

113 μητρὸσ ll. praeter LP **114** παῖδασ A **115** nota τρο ante u. 116 in VB^2 τλῆμον LP: A e corr. **117** ἔχεισ P ΣV*l*: V^1 a. corr. **120** πολλῶν V^1 a. corr. **121** χαλεπὰσ Naber **122** ἴσοισι ll. praeter LP **123** ἔμοι γ' οὖν sim. ll. cum Σ εἰ μὴ ll.: em Mikkelsen (ad Σ): ἐπὶ μὴ Barthold: οὐ μὴν Michelangeli μεγάλωσ ll. cum Σ: em Mikkelsen **124** γ' Reiske: τ' ll. **125** s πρῶτον ἐπαινεῖν . . . χρῆσθαι δὲ Wecklein **128** uersum suspectum legit Σ οὐδὲν ἐπαρκεῖν δύναται θν. Nauck: οὐδὲν κέρδος θνατοῖσιν ἔχει (uel κ. ἔχει τοῖς θν.) Blaydes δύναται θνητοῖς del Verrall βροτοῖσ V **130** ὄγκοις Housman ad frg. adesp. 547 131—138. 148—154. 155—159. 173—179. 180—183 singulis choreutis, 204 ss choro tribuit O. Hense, 131—138 coryphaeo, 148 ss 173 ss ducibus hemichoriorum, 204 ss choro Arnoldt

---

SCHOL. **114** | B^i φθειρέσθω. **115** | B^i κατὰ τὴν ὑπόθεσιν εἰσῆλθον οἱ παῖδες, ἡ δὲ πρεσβῦτις οὖσα ἔξωθεν ἐπιστενάζει. | B^i ἔξωθεν ἡ τροφὸς ταῦτα καθ' ἑαυτήν φησι. **117** | VB^i τί τούσδ' ἔχθεις: τί τούσδε μισεῖς οὐκ ὄντας αἰτίους; λέγει δὲ τοὺς παῖδας, Μέρμερον καὶ Φέρητα. **119** | VB^i τυράννων λήματα: φρονήματα, τῆς ψυχῆς 5 παραστήματα. τὸ δὲ πως παρέλκει. πέφυκε γὰρ ἀεὶ ἡ ἐξουσία

ἐπαίρειν τῶν ἀνθρώπων τὸν λογισμόν. **120** | B ὀλίγ' ἀρχόμενοι: ἀντὶ τοῦ· ἐξ ὀλίγου καὶ βραχέος ἀρχόμενοι τοῦ θυμοῦ καὶ ἐπὶ πολὺ τοῦτον κρατοῦντες. τὸ γὰρ πολλά ἀντὶ τοῦ ἐπὶ πολύ. ἔχομεν δὲ καὶ τὴν ἔννοιαν παρ' Ὁμήρῳ [A 81]· 'εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ' καί 10 [B 196]· 'θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων'. δύναται δὲ τὸ ὀλίγ' ἀρχόμενοι ἀντὶ τοῦ· οὐδ' ὅλως ἀρχόμενοι, ἀλλ' ἐκ τοῦ ἐναντίου αὐτοὶ πολλῶν κρατοῦντες. πέφυκε δ' ⟨ἡ⟩ ἐξουσία ἐπαίρειν ἀεὶ τοῖς ἀνθρώποις τὸν λογισμόν. | V ἀρχόμενοι, πολλά: οἱ τύραννοι ἀεὶ εἰωθότες ἀνύειν, ἐὰν λυπηθῶσιν, οὐ παύονται εἰ μὴ ἀνύουσι δι' ὃ λυποῦνται. **122** | B τὸ 15 γὰρ εἰθίσθαι: ὁ γάρ ἀντὶ τοῦ δέ· τὸ δὲ ζῆν ἐπ' ἴσοις, ἀντὶ τοῦ μετὰ ἰσότητος καὶ μὴ ἐν τυραννίδι, κρεῖσσον. ἔδει, φησί, πάντας ἀνθρώπους μηδένα μηδενὸς ὑπερέχειν [[τῆς συμμετρίας]] καὶ μὴ πλειόνων ἐπιθυμεῖν· τοῦτο μέγιστον ἀνθρώποις καὶ λυσιτελέστατον. τὸ γὰρ λῷστα ἀντὶ τοῦ λῷστον, ὅ ἐστι βέλτιστον, πληθυντικὸν ἀντὶ ἑνικοῦ. τὸ χρῆσθαι οὖν τῇ 20 συμμετρίᾳ εἰς ὅλον τὸν χρόνον βέλτιον. κἀγὼ οὖν, φησί, τῆς μεγάλης καὶ ὑπερβαλλούσης εὐτυχίας τὴν συμμετρίαν προκρίνω. ἐν ταύτῃ γὰρ [[τὸ δὲ εἰ μὴ μεγάλως ἀντὶ τοῦ· εἰ μὴ μεγάλῃ καὶ ὑπερβαλλούσῃ εὐτυχίᾳ]] τὸ ἀσφαλέστερον. **124** | B ἀντὶ τοῦ μετρίως καὶ ἀσφαλῶς, ὡς τῆς συμμετρίας τὸ ἀσφαλὲς τῆς παραμονῆς ἐχούσης, τῆς δὲ ὑπερβολῆς μεγάλας 25 καὶ τὰς ἐκπτώσεις ἐχούσης, ὡς ἐπάγει. ἀμφότερα δὲ λέγεται, καὶ ὀχυρῶς καὶ ἐχυρῶς. | B αἱρετὸν μέν, φησί, τὸ εὐδαιμονεῖν· εἰ δὲ μὴ ἐνδέχεται ἀεὶ καὶ μέχρι γήρως εὐτυχεῖν, κρεῖσσον τὸ ζῆν ἐπ' ἴσοις, ὅ ἐστιν ἐν μεσότητι τῇ ἴσον ἀπεχούσῃ εὐτυχίας καὶ ἀτυχίας. ὁ τοιοῦτος γὰρ βίος κρείσσων, ὡς μόνιμος. **125** | B αὐτὸ γάρ, φησί, καθ' ἑαυτὸ τὸ τῆς συμμετρίας 30 ὄνομα καὶ τῇ προφορᾷ μόνῃ νικᾷ καὶ εὐφημότερόν ἐστι. λέγει δὲ καὶ ὁ σοφός 'πάντων μέτρον ἄριστον', ἐπὶ ὑπερβολῆς 'μηδὲν ἄγαν'. **127** | B τὰ δ' ὑπερβάλλοντα: αἱ δ' ὑπερβολαί, φησίν, ἀσθενεῖς καὶ οὐ βέβαιοι τοῖς ἀνθρώποις, τῇ ἀρχαίᾳ μεταβολῇ οὐδ', εἰ γεγόνασι τὴν ἀρχήν, νομιζόμεναι. ὁ γὰρ τὴν συμμετρίαν ἔχων, εἰ καὶ ⟨ἐκ⟩πέσοι ταύτης τρόπον τινά, οὐδεμίαν 35 δοκεῖ πεπονθέναι παραλλαγήν. ἔπειτα τῷ μὲν ὑπερβολὴν ἔχοντι φθόνος παρακολουθεῖ, τοῖς δ' οὐχί. διὸ ἐπὶ πολὺ παραμένει ἡ συμμετρία. τὸ δὲ ὅταν ὀργισθῇ εἰδικώτερον εἴρηκεν· ἔδει γὰρ μᾶλλον εἰπεῖν ὅταν χολωθῇ.

---

2 ἔσωθεν Bi: em Schw. **3** ἔχεισ V **4** τούτουσ Bi cf. Apollod. 1, 9, 28, 2 Paus. 2, 3, 6. 9 Hyg. fab. 25. 239 **5** φέρητον Bi τὰ τῆσ V **5s** π. τ. ψ. Bi **6** παρέλκεται V **7** ἐπαίρουσα V **11** τὸ om B **13** ⟨ ⟩ Schw. **14** πολλῶν sscr. ά V **15** ἀνύσουσι V: em Wil. **17** κρεῖσσον lemmatis loco alterius scholii B **18** τῆς σ. del. Schw., post ἐπιθυμεῖν (18) traiecit Wil. **21** βέλτιον: B (sic) **22s** [[ ]] Schw. **26** ἐχυρῶς Dindorf: ἰσχυρῶσ B **29** ἴσιν B: em Wil. ὡς Wil.: εἰ B **30s** post μόνῃ repetiuit B: τὸ — ὄνομα **32** πάντων Reitz.: πᾶν B **34** ἀρχαίᾳ: ἄρδην ci Schw. **35** ⟨ ⟩ Schw.

ABV LP

XO. ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνου
Κολχίδος, οὐδέ πω ἤπιος· ἀλλ' ὦ γηραιά,
λέξον· ἐπ' ἀμφιπύλου γὰρ ἔσω μελάθρου βοὰν 135
ἔκλυον· οὐδὲ συνήδομαι, ὦ γύναι, ἄλγεσιν
δώματος· ἐπεί μοι φίλον κέκρανται.

ΤΡ. οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ' ἤδη·
τὸν μὲν γὰρ ἔχει λέκτρα τυράννων, 140
ἁ δ' ἐν θαλάμοις τάκει βιοτὰν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένα φρένα μύθοις.

ΜΗ. αἰαῖ,
διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη· τί δέ μοι ζῆν ἔτι κέρδος; 145
φεῦ φεῦ· θανάτῳ καταλυσαίμαν
βιοτὰν στυγερὰν προλιποῦσα.

XO. ἄιες 'ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς', στρ.
ἀχὰν οἵαν ἁ δύστανος
μέλπει νύμφα; 150
τίς σοί ποτε τᾶς ἀπλάτου
κοίτας ἔρος, ὦ ματαία,
σπεύδει θανάτου τελευτάν;
μηδὲν τόδε λίσσου.
εἰ δὲ σὸς πόσις καινὰ λέχη σεβίζει, 155
κείνῳ τόδε μὴ χαράσσου·

---

132 τῆσ V **133** s ἤπιοσ; A ἀλλ' ὦ ll.: ἀλλὰ G. Herm. γεραιά ABLP **135** ἐπ' ll.: ἔτ' Badham: ὑπ' Schoen ἐπαμφιπ. Michelangeli ἔσω ll.: ὁρῶ Leo βοάν (-ήν) VBLP cum Σ: μολών A: γόον Elmsley: σ' ἐγὼ Leo **136** ὦ om P: L man. rec. **138** εἰπέ μοι A: ἐπεὶ μὴ V et L man. rec., unde Murray et Badham ci εἰπέ μοι εἴ τι μὴ φίλα κέκραται L man. rec. contra Σ, unde φιλία κέκρ. Porson **140** τὸν Musgrave: ὁ ll. δῶμα LP **141** τήκει A **142** s παραθαλπομένη V: παραθελγομένη Nauck Schmidt **144** αἶ αἶ (sscr. ` `) A: αἲ αἲ L^1: αἲ αἲ τάλαινα L^2: αἶ αἶ rell. αἰαῖ· ⟨ὦ Ζεῦ καὶ Γᾶ καὶ Φῶς⟩ Murray κεφαλῆσ V cum Hierocle carm. aur.

p. 99 **148** cf. Apollod. Tarsensis apud Σ **149** ἰαχὰν ll. cum Σ: em Elmsley **150** νύμφαν A **151** τί ll. praeter L: sscr. V man. rec. ἀπλάστου ABV: ἀπλήστου LB²P cum Σ: em Elmsley **152** ἔρωσ ll. praeter L man. rec. ματαία; Weil **153** σπεύσει ll. praeter V²: σπεῦσαι Schroeder τελευτάν; ll.: τελευτά· Weil **157** τόδε· Σ: τόδε ll. cum Σ alio μὴ om V

Schol. **131** | Bⁱ χορὸς γυναικῶν ἐκ Κορίνθου. **133** | VεB οὐδέπω ἤπιος ἔοικε, φησίν, ἡ Μήδεια μηδέπω πεπραΰνθαι. **134** | VB ἐπ' ἀμφιπύλου: ἀμφίπυλον λέγεται τὸ ἔχον δύο πύλας καὶ εἰσόδους, μίαν μὲν τὴν αὐθεντικήν, ἑτέραν δέ, ἣν Ὅμηρος [χ 126. 132. 333] λέγει ὀρσοθύρην. ἐγὼ οὖν, φησίν, ἐπὶ τοῦ ἀμφιπύλου οὖσα, τουτέστιν ἐπὶ τοῦ 5 πυλῶνος, ἤκουσα φωνῆς ἔσω τοῦ μελάθρου. ἢ οὕτως· ἀμφίπυλον ὁ περὶ τὰς θύρας τόπος. **138** | B τὸ οἴκημα, λέγει, τετέλεσται ἐμοὶ φίλον, οἷον ὑπάρχει. **139** | VB οὐκ εἰσὶ δόμοι: ἀντὶ τοῦ· ἀνατέτραπται ὁ οἶκος καὶ ἠφάνισται. ἀπὸ δὲ ἀρσενικοῦ εἰς οὐδέτερον μεταβαίνει. φροῦδα γὰρ τάδε τὰ οἰκήματα λέγει. **144** | B οἷον· κεραυνωθείην, 10 κεραυνοβοληθείην· φλόγα γὰρ οὐρανίαν τὸν κεραυνὸν λέγει. **148** | B τὸ ἄϊες ὁ Δίδυμος ὡς πρὸς τὰς τοῦ χοροῦ φησι λέγεσθαι· ἠκούσατε; καὶ οὐ πρὸς τὸν Δία. ἐν ἤθει οὖν τὸ ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς. τοῦτο δὲ Ἀπολλόδωρος τῆς Μηδείας φησίν, ἀπὸ δὲ τοῦ ἰαχάν τοῦ χοροῦ, ἵν' ἔχῃ λόγον τὸ κἀπιβοᾶται Θέμιν εὐκταίαν Ζῆνά τε, τοὺς δ' ὑποκριτὰς 15 συγχέειν. **151** | B τὸ μέγεθος θαυμάζει τοῦ ἔρωτος. τίς ἄρα, φησίν, οὗτος ὁ ἔρως, ὁ τῆς ἀκορέστου ταύτης κοίτης, ὃς σπεύσει <σοι> θάνατον ἐπιπέμψαι; ἄπληστον δὲ λέγει τὴν κοίτην, ἐπεὶ δέον καταφρονητικῶς φέρειν καὶ μισεῖν τὸν Ἰάσονα ἑτέρᾳ συνελθόντα, ἡ δὲ καὶ οὕτως κνίζεται, ὅτι μὴ σύνεστιν αὐτῷ. τὸ δὲ σπεύσει θανάτου τελευτάν, ἀντὶ τοῦ· 20 ἐπείξει καὶ ἐμβαλεῖ σοι θάνατον. | V τί σοί ποτε: διὰ τί ποτε, ὦ ματαία, ὁ ἔρως τῆς ἀκορέστου κοίτης σπεύδει σοι θανάτου τελευτὴν ἐμβαλεῖν; **154** | VB μηδὲν τόδε λίσσου: μὴ λίσσου, φησίν, ὦ Μήδεια, τὸ θανεῖν. εἰ δὲ ὁ σὸς ἀνὴρ ἠθέτησε τοὺς ὅρκους, ἐκείνῳ γενέσθαι λίσσου τόδε, δηλονότι τὸ κεραυνωθῆναι καὶ ἀποθανεῖν. **157** | VB κείνῳ τόδε: του- 25 τέστιν· ἐκείνῳ τόδε τὸ ἁμάρτημα μὴ λογίζου καὶ δι' ἐλπίδος ἔχε τοὺς θεοὺς ἀπαιτήσειν αὐτὸν τιμωρίαν. | B σύ, φησί, μὴ χαλέπαινε μηδὲ θυμοῦ. συνδικήσει δέ, ἀντὶ τοῦ σὺν τῷ δικαίῳ ἐπεξελεύσεται. | Vε ἤγουν τῷ Ἰάσονι. ἤγουν τὸ ἁμάρτημα μὴ ὀργίζου, μὴ ἐπιγράφου.

---

2 μηδέποτε VεB **2** s *l* om B **3** λέγει B **6** εἰσ πυλῶνασ V **6** s ἢ—τόπος om B **6** s ἀμφίπυλοσ περὶ V: em Schw. **8** *l* om B **9** καὶ om B μετέστη B **10** τάδε τὰ B: τὰ πάντα V **17** < > Wil. **24** τοὺς ὅ. om V λίσσου τοῦτο γενέσθαι V **25** ἀπ. καὶ κερ. V *l* om B

25—29 cf. Eust. Il. p. 633, 44 **27** *l* μὴ λίαν τάκου ὁ (sscr. δ) add. B

ABV LP

Ζεύς σοι τάδε συνδικήσει. μὴ λίαν
τάκου δυρομένα σὸν εὐνάταν.
ΜΗ. ὦ μεγάλα Θέμι καὶ πότνι' Ἄρτεμι, 160
λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
ἐνδησαμένα τὸν κατάρατον
πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ'
αὐτοῖς μελάθροις διακναιομένους,
οἵ' ἐμὲ πρόσθεν τολμῶσ' ἀδικεῖν. 165
ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
αἰσχρῶς τὸν ἐμὸν κτείνασα κάσιν.
ΤΡ. κλύεθ' οἷα λέγει κἀπιβοᾶται
Θέμιν εὐκταίαν Ζῆνά θ', ὃς ὅρκων
θνητοῖς ταμίας νενόμισται; 170
οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
δέσποινα χόλον καταπαύσει.
ΧΟ. πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν ἀντ.
ἔλθοι μύθων τ' αὐδαθέντων
δέξαιτ' ὀμφάν; 175
εἴ πως βαρύθυμον ὀργὰν
καὶ λῆμα φρενῶν μεθείη.
μήτοι τό γ' ἐμὸν πρόθυμον

---

158 τόδε ll. praeter LP: ποτέ ci Prinz συνδικάσει L² Ζεύς σοι σύνδικος ἔσται Nauck **159** ὀδυρομένα ll.: em Musgrave εὐνέταν ll.: em Tyrwhitt **160** ὦ μεγάλε Ζεῦ πότνιά τ' ὦ Θέμι Wieseler: ὦ μ. Ζ. καὶ Θέμι πότνια Weil (cf. 169): ὦ Ζ. καὶ Θ. π. Blaydes: omnes contra Didymum et Apollodorum apud Σ **162** ἐνδησαμένη ALP **165** οἵ' ἐμὲ Kaibel: οἵ γέ με ll. **166**s ὧν κάσιν αἰσχρῶς τὸν ἐ. κτείνασ' ἀπενάσθην Heimsoeth, post 167 lacunam statuit Witzschel propter paroemiacum deficientem (sed cf. Hec. 176 Aesch. Pers. 930) **170** θνατοῖσ LP **171** κοὐκ V σμικρῷ LP: em L² **176** οὔ πωσ et ἢ πῶσ V¹ u. l. ὀργήν V **178**s choro tribuit L, ante 178 τρο, 180 χορ VBPL², ante 180 chori notam exh. A **178** μή μοι AP: L man. rec.

Schol. **162** | B^i κατάρατον: τὸν κατευχῶν ἄξιον, τὸν χαλεπώτατον. **166** | B^i ἀπῳκίσθην. **167** | B Τιμαχίδας ἐπὶ τὰ πρόχειρα πᾶσιν ἐνεχθεὶς τὸν Ἄψυρτόν φησι λέγειν αὐτήν, τοῦ Εὐριπίδου μήτε

ἐνταῦθα μήτε ἐν τῷ Αἰγεῖ δηλώσαντος ὀνομαστὶ τὸν Ἄψυρτον. ὁ δὲ Φερεκύδης [frg. 73] διὰ τοῦ ξ ὀνομάζει αὐτόν. Δικαιογένης δὲ ἐν τῇ Μηδείᾳ [FTG p. 775] Μεταπόντιον αὐτὸν ὀνομάζει. ἀνῃρῆσθαι δὲ αὐτὸν οἱ μὲν ὑπὸ Μηδείας, οἱ δὲ ὑπὸ τῶν Ἀργοναυτῶν. Λέων δὲ ὁ ῥήτωρ [FHG II p. 331, 5] οὐ σφαγῆναι, ἀλλὰ διαφθαρῆναι αὐτὸν φαρμάκοις· | Bi Ἄψυρτον λέγει τὸν ἐπιδιώξαντα αὐτὴν κατὰ πρόσταξιν τοῦ Αἰήτου. πέπεικε γὰρ αὐτὸν ἐλθεῖν εἴς τινα νῆσον ὑποβαλοῦσα τῷ Ἰάσονι δόλῳ τινὶ τοῦτον ἀνελεῖν. **169** | VB Θέμιν εὐκταίαν: τῶν διαβεβοημένων ἐστὶ ζητημάτων καὶ τοῦτο, πῶς ἡ μὲν Μήδεια τὴν Θέμιν καὶ τὴν Ἄρτεμιν ἐπιβοᾶται, ἡ δὲ πρέσβυτις ἀντὶ τῆς Ἀρτέμιδος τὸν Δία φησὶν αὐτὴν ἐπιμαρτύρασθαι. Ἀπολλόδωρος μὲν οὖν φησιν ὁ Ταρσεὺς τῆς ἀμφιβολίας αἰτίους εἶναι τοὺς ὑποκριτάς, συγχέοντας τὰ χορικὰ τοῖς ὑπὸ τῆς Μηδείας λεγομένοις. δεῖν δὲ τὴν διαστολὴν γεγονέναι μὲν ἐκ τοῦ τὴν Μήδειαν ἅπαντα ταῦτα λέγειν αἲ αἲ διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη ἕως τοῦ ἄιες ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς, τὰ δὲ ἑξῆς τῷ χορῷ προσάψαι. οὕτως γὰρ ἐχούσης τῆς διαστολῆς, [[ὡς]] αὐτῆς φησάσης τῆς Μηδείας διαρρήδην προσκαλεῖσθαι τὸν Δία, τὰ ἑξῆς τὸν χορὸν λέγειν ἰαχὰν οἵαν ἁ δύστανος μέλπει νύμφα· εἰ δὲ μή, γελοῖον δοκεῖν τῆς Μηδείας καταρασαμένης ἑαυτῇ τὸν χορὸν λέγειν ἄιες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς. λελύσθαι οὖν τὴν ἀπορίαν * * εἰκότως τὴν πρεσβῦτιν ἔνδοθεν κατηκοῦσθαι τῆς Μηδείας καὶ λέγειν κλύεθ', οἷα λέγει. ὁ δὲ Δίδυμός φησιν ὅτι διὰ τοῦ λέγειν διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη ἐπικαλεῖται τὸν Δία. τίς γὰρ εἶχεν αὐτῇ ἐπιπέμψαι τὸν κεραυνόν, εἰ μὴ ὁ Ζεύς; εἰ δὲ ἡ πρεσβῦτις μὴ πάντων ὧν ἡ Μήδεια ἐπεκαλέσατο ἐμνήσθη, οὐ παράδοξον· ἠρκέσθη γὰρ τοῖς σεμνοτάτοις. οἱ δὲ λείπειν φασὶ τὸ ὄμνυμι Ζῆνα καὶ Θέμιν. **171** | Bi λείπει τὸ κακῷ, ἔν τινι μικρῷ κακῷ· ἀλλὰ δηλονότι μέγα καταπραξαμένη κακὸν παύσεται τῆς ὀργῆς. **173** | B πῶς ⟨ἂν⟩, φησί, συντυχοῦσα αὐτῇ διαλεχθείην, καὶ πῶς ⟨ἂν⟩ τῶν παρ' ἐμοῦ ῥηθησομένων λόγων τὴν φωνὴν δέξαιτο. ὀμφὴν γὰρ νῦν τὴν φωνὴν λέγει ἢ τὴν ὁμιλίαν καὶ οὐχὶ τὴν κληδόνα. **174** | Bi αὐδηθησομένων. **178** | Bi τὸ ἔπαρμα καὶ ἡ ὁρμὴ τῆς διανοίας, τὸ εἰς τοὺς φίλους σπουδαίαν εἶναι μὴ ἀπέστω μου. ἢ οὕτως· ἡ ἐμοὶ παροῦσα προθυμία μὴ ἐκτὸς τῶν φίλων ἀπέστω.

5ss cf. schol. Apoll. Arg. 4, 223. 228 **9**ss cf. ibid. 4, 411 s
12 ζημάτων B αὐτὸ V **13** ἀντιβοᾶται V: βοᾶται B: em Schw. **13**s ἀντιμαρτύρεσθαι V **14** Ἀπολλόδωρος — **29** Θέμιν om V **16** δεῖ B: em Schw. μὲν ἐκ τοῦ B: μὴ ἐκ τοῦ ⟨ἄιες, ἀλλ' ὥστε⟩ Schw.: ⟨οὕτως·⟩ τὴν μὲν M. — λέγειν ἐκ τοῦ Wil. **19** [[ ]] Wil. φησὶ B: em Schw. **21** δοκεῖν Schw.: δοκεῖ εἶναι B **23** ⟨ἄλλοι δὲ⟩ Wil. Reitz.: plura excidisse censet Schw. **27** δὲ Dindorf: καὶ B **31** ⟨ ⟩ ⟨ ⟩ Schw. **34** τὴν ὁρμὴν Bi

ABV LP

φίλοισιν ἀπέστω.
ἀλλὰ βᾶσά νιν δεῦρο πόρευσον οἴκων 180
ἔξω, φίλα καὶ τάδ᾽ αὔδα·
σπεῦσον πρίν τι κακῶσαι τοὺς εἴσω·
πένθος γὰρ μεγάλως τόδ᾽ ὁρμᾶται.

ΤΡ. δράσω τάδ᾽· ἀτὰρ φόβος εἰ πείσω
δέσποιναν ἐμήν· 185
μόχθου δὲ χάριν τήνδ᾽ ἐπιδώσω.
καίτοι τοκάδος δέργμα λεαίνης
ἀποταυροῦται δμωσίν, ὅταν τις
μῦθον προφέρων πέλας ὁρμηθῇ.
σκαιοὺς δὲ λέγων κοὐδέν τι σοφοὺς 190
τοὺς πρόσθε βροτοὺς οὐκ ἂν ἁμάρτοις,
οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις
ἐπί τ᾽ εἰλαπίναις καὶ παρὰ δείπνοις
ηὕροντο βίου τερπνὰς ἀκοάς·
στυγίους δὲ βροτῶν οὐδεὶς λύπας 195
ηὕρετο μούσῃ καὶ πολυχόρδοις
ᾠδαῖς παύειν, ἐξ ὧν θάνατοι
δειναί τε τύχαι σφάλλουσι δόμους.
καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
μολπαῖσι βροτούς· ἵνα δ᾽ εὔδειπνοι 200
δαῖτες, τί μάτην τείνουσι βοήν;
τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ᾽ αὑτοῦ
δαιτὸς πλήρωμα βροτοῖσιν.

ΧΟ. ἰαχὰν ἄιον πολύστονον γόων,
λιγυρὰ δ᾽ ἄχεα μογερὰ βοᾷ 205
τὸν ἐν λέχει προδόταν κακόνυμφον·
θεοκλυτεῖ δ᾽ ἄδικα παθοῦσα

---

180 οἴκων om A 181 ναὶ Michelangeli αὔδα V[1] φίλα κάρτα δ᾽ αὔδα ci Murray 182 σπεῦσαι AB: σπεύσασα Schoen: σπεύσασ᾽ ἴθι

Michelangeli δὲ πρίν τι uel δέ τι πρίν G. Herm. δὲ seclus. Wecklein, τι Michelangeli ἔσω idem **185** om Verrall cum B[1] a. corr.: exh. DO: habuit Σ ἐμάν L **187** δέρμα V[1] **189** προσφέρων AV ὁρμαθῇ ll. **191** ἁμάρτησ V[1]L **192** ἐπὶ μὲν θαλίαις om LP: add. L man. rec. **194**. **196** εὕροντο, εὕρετο ll. **194** βίον τέρπειν δυνατούς (uel ἱκανούς) ci Prinz χάριτας ci Wecklein **197** ἐξ οὗ θάνατος Herwerden Mnemosyne N. S. 31, 1903, 261 ff. **200** μολπῇσι V βροτοῖσ V[1] a. corr. **201** βοάν ll. praeter V **204** ἀχὰν Dindorf πολυστόνων B[2] γόον A: L (?): sscr. ου A[1] **205** μογερᾷ ll. praeter AB[2]: V et L man. rec.: Σ **207** δέ τ᾽ ἄδικα ll. praeter AB: L man. rec.

SCHOL. **183** | B[i] αὐτὴν λέγει [[κακόν τι ποιῆσαι]] ἢ τοὺς παῖδας. **184** | B ἀλλ᾽ εἰ φοβερὸν καὶ δυσχερὲς πεῖσαι τὴν ἐμὴν δέσποιναν θυμουμένην ἐνταῦθα προελθεῖν, ὅμως ἐγὼ τήνδε σοὶ τὴν χάριν καταθήσω καὶ εἰσελθοῦσα καλέσω αὐτὴν ὑπὲρ τοῦ μὴ μοχθεῖν καὶ ἀδημονεῖν σε ἑστῶσαν καὶ προσδεχομένην. **186** | B[i] ὑπὲρ τοῦ μόχθον οὗ περὶ ἡμᾶς ἔχεις. τὸ δὲ 5
χάριν κατὰ κοινοῦ. **187** | VB καίτοι τοκάδος: λείπει τὸ ἔχουσα. καίτοι, φησίν, ἡ δέσποινα δεινὸν ὁρᾷ τοῖς τολμῶσιν αὐτῇ πλησιάζειν ἔχουσα λεαίνης τετοκυίας τὸ βλέμμα, καὶ ὅμως, οὕτως ἐχούσης αὐτῆς θυμοῦ, εἰς σὴν χάριν εἰσελεύσομαι· τοῦτο γὰρ ἀπὸ κοινοῦ. **188** | VB ἀποταυροῦται: ταυρηδὸν σχηματίζεται τῷ προσώπῳ, ὡς βλέμμα μὲν ἔχειν λεαίνης, σχηματίζεσθαι δὲ τῷ προσώπῳ ὁμοίως ταύρῳ θυμουμένῳ. | VB[i] οὕτως, φησίν, ἀποβλέπει εἰς ἡμᾶς ὀργίλως, ὡς λέαινα ὀργισθεῖσα ὑπὲρ τῶν τέκνων αὐτῆς. **190** | B[i] ἀνοήτους ἀπαιδεύτους. τοὺς πρόσθε, τοὺς ἀρχαίους. **192** | B[i] θυσίαις. διὸ καὶ σεσημείωται. **193** | B[i] εἰλαπίναις: ἑορταῖς. παρὰ δείπνοις δέ, τὰ παροίνιά φησιν. **197** | B[i] ἐξ 15
ὧν, λυπῶν, αἱ δειναὶ συμφοραὶ πταίειν καὶ ἀποτυγχάνειν ποιοῦσι τοὺς οἴκους. **199** | VB κέρδος ἀκεῖσθαι: τὴν λύπην θεραπεύειν δι᾽ ᾠδῶν κέρδος ἐστί. καίτοι τὸ ἀκεῖσθαι καὶ θεραπεύειν τὰς λύπας τῶν ἀνθρώπων κέρδος ἐστὶ καὶ ὠφέλεια. τίς δὲ χρεία ἐν συμποσίοις στρέφειν ὕμνους, ὅπου καὶ χωρὶς τῶν ὕμνων αὐτὴ ἡ παρουσία τῶν συμποτῶν τέρψιν 20
ἔχει. **201** | B[i] τίς γὰρ ἐκεῖ χρεία μουσικῆς αὐτῶν τῶν ἀπὸ θοίνης τερπόντων. | B[i] τείνουσι δὲ βοήν, ἀντὶ τοῦ ᾄδουσι μετὰ τόνου. ἡ γὰρ εὐωχία ἱκανή ἐστιν εἰς τὸ τέρψαι τοὺς ἀνθρώπους. **205** | B[i] ἀντὶ τοῦ· λιγυρῶς, ὀξέως, τὰ ἄχεα, φησίν, ἡ μογερὰ Μήδεια βοᾷ.

---

1 [[ ]] Schw. **3** προσελθεῖν B: em Matthiae **6** λείπει τὸ ἔχουσα om V **7** ἡ — ὁρᾷ B: ὡσ δεινὸν ὁρᾶ ἡ δέσποινα V **8 s** καὶ — κοινοῦ om V **9 s** κοινοῦ· ἀποταυροῦται δὲ ἀντὶ τοῦ ταυρηδὸν B **11** τὸ πρόσωπον B **11 s** θυμουμένῳ οὕτωσ φησὶν eqs V **15** τὴν παροινίαν B[i]: em Wil. **17** κ. ἀκ. V: στυγίουσ δὲ βροτῶν B **17 s** τὴν — ἐστί om V **18** ᾠδικῶν B: em Schw. καίτοι et ἀκεῖσθαι καὶ om V **19** τρέφειν V **20** χ. τ. ὕ. om V αὐτὴ καὶ ἡ V **24** μογεραῖ μήδει B[i]

ABV
LP

τὰν Ζηνὸς ὁρκίαν Θέμιν,
ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον 210
δι' ἅλα νύχιον ἐφ' ἁλμυρὰν
πόντου κλῇδ' ἀπέραντον.

ΜΗ. Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
μή μοί τι μέμφησθ'· οἶδα γὰρ πολλοὺς βροτῶν 215
σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,

---

209 ἃ ll. cum Σ: τᾶ ci Murray **210** εἰσ VP **211** μύχιον Lenting **212** Πόντου Blaydes κλῇδ' LP: κληΐδ' rell.: em Brunck ἀπεράντου Milton: ἀπέρατον Blaydes **215** μέμφησθ' AB: μέμφοισθ' V: μέμψησθ' L: μέμψοισθ' P **216** σεμνοὺς κλύοντας Keiper ὀμμάτων τ' AV

Schol. **208** | V τὴν πάρεδρον τῷ Διὶ δικαιοσύνην. ὁρκίαν δὲ αὐτὴν εἶπεν ὡς τῶν ὅρκων ἔφορον καὶ συνθηκῶν πρύτανιν. τὴν θεὸν ἐπικαλεῖται ὡς ἑξῆς ἐπάγει, ὥστε καὶ ἄνω διὰ τῆς Θέμιδος τὸν Δία ἐπικαλεῖσθαι. | VB ταῦτα τοῖς ἀξιοῦσιν ὑπὸ τῆς Μηδείας διὰ τῆς Θέμιδος προσειλῆφθαι τὸν Δία συμπράττει. οἱ γοῦν προυπομνηματισάμενοι γράφουσιν οὕτως· 'δύναται τὸ λέγειν Ζηνὸς ὁρκίαν Θέμιν βοηθῆσαι τοῖς προεκκειμένοις ὅτι διὰ τῆς Θέμιδος τὸν Δία ἐπεκαλεῖτο, διὰ τὸ εἶναι Διὸς τὴν Θέμιν'. λέγει οὖν ὅτι τοῖς ταύτης ὅρκοις πιστεύσασα ἔπραξεν ἃ ἔπραξεν. ἥτις, Θέμις, αὐτήν, τὴν Μήδειαν, διαβῆναι πεποίηκεν εἰς τὴν Ἑλλάδα τὴν ἀντίπορον τῆς Σκυθίας. ἀντίπορον δὲ τὴν ἐναντίαν κατὰ τὸν πόρον, ἢ κατὰ τὸν τόπον. ἡ μὲν γὰρ ἐν τοῖς δυτικοῖς κεῖται, ἡ Ἑλλάς, ἡ δὲ Σκυθία ἐν τοῖς ἀνατολικοῖς. πῶς δὲ ἡ Θέμις διαβῆναι ἐποίησε τὴν Μήδειαν; ὅτι τοῖς ὅρκοις πεισθεῖσα ἠκολούθησεν Ἰάσονι. | B δι' ἅλα δὲ νύχιον ἐφ' ἁλμυρὰν πόντου, ἀντὶ τοῦ δι' ἁλὸς ἁλμυρᾶς, περιττευούσης τῆς ἐπί προθέσεως. ἢ τὸ ἁλμυράν πρὸς τὸ ἑξῆς συναπτέον, τουτέστι· διεβίβασεν αὐτὴν εἰς τὴν Ἑλλάδα δι' ἁλὸς ἐπὶ τὴν ἁλμυρὰν τοῦ πόντου κλῇδα. λέγει δὲ τὸ στενὸν [[ὅθεν καὶ κλεῖδα τὸ στενὸν ἐκεῖνο ὠνόμασε]] παρὰ τὸ ὥσπερ κλεῖδα εἶναι τοῦ προκειμένου Πόντου. ἀπὸ γὰρ τοῦ στενοῦ ἐπὶ τὸν Πόντον ἐξίασι. νύχιον δὲ αὐτήν φησι διὰ ⟨τὸ⟩ νυκτὸς πεφευγέναι. **211** | B[i] διὰ τὸ νυκτὸς πεφευγέναι, ὡς Ἀπολλώνιος [4, 1 sq.]. **212** | B[i] δυσχερῆ πρὸς τὸ περᾶσαι. **214** | VB Κορίνθιαι γυναῖκες: χρὴ νοεῖν ὅτι κατὰ τὸ σιωπώμενον εἰσελθοῦσα ἡ γραῦς παρεκάλεσε τὴν Μήδειαν ἐξελθεῖν πρὸς τὰς ἀπὸ τοῦ χοροῦ. αὕτη οὖν ἐξελθοῦσά φησιν· ἐξῆλθον πρὸς ὑμᾶς, ὦ γυναῖκες, ἵνα μή μοί τι μέμψησθε ὡς δι' ὑπερηφανίαν μὴ προελθούσῃ. | B ἄλλως: ὦ Κορίνθιαι γυναῖκες, ἐξῆλθον ἐκ τῶν δόμων, ἵνα μὴ μέμψησθέ μοι, καίτοι ἐπίσταμαι πολλοὺς τῶν ἀνθρώπων σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο, τοὺς δ' ἐν

θυραίοις, οἷον· ὑπερηφάνους νομιζομένους τοὺς μὲν ἀπὸ τοῦ χωρίζεσθαι καὶ ἄποθεν τῶν ὀμμάτων εἶναι, τοὺς δὲ διὰ τὸ προέρχεσθαι, καὶ συνεχῶς ἐπιφαίνεσθαι· ἐξ οὗ τὸ ἁπανταχόθεν ἐπίφθονον καὶ εὐδιάβολον τῶν ἀνθρώ- 30
πων συνάγει, ὅτι εἰς μηδὲν ἀρέσκονται. εἶτα πάλιν κατὰ τούτων ἐπιφέρει ὅτι καὶ οἱ ἀφ' ἡσύχου ποδὸς καὶ ἐν ἐρημίᾳ τὰ ἑαυτῶν πράττοντες δύσκλειαν κτῶνται καὶ ἀργίαν, οἷον· καὶ οὗτοι διαβάλλονται ὑπὲρ τούτου. οὕτως ὁ Εἰρηναῖος. δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν: φησὶν ὅτι διὰ τοῦτο προῆλθον πρὸς ὑμᾶς, καίτοι ἐπισταμένη ὅτι καὶ 35
τὸ ἐπιφοιτᾶν ἐπικίνδυνόν ἐστιν, ὅμως δ' οὖν, ἵνα [[μὴ]] δι' ἔργων καὶ ἀπ' αὐτῆς τῆς διανοίας γνωρίσητέ με ἥτις εἰμί. οὐ γάρ, φησίν, ἐν ὀφθαλμοῖς ἀνδρῶν καὶ ἐν τῇ ὄψει μόνῃ περί τινος δίκη καὶ κρίσις ἐστίν, ἤτοι τὸ δίκαιον οὐκ ἀπὸ μόνης τῆς ὄψεως εὑρίσκεται. τὸ δὲ κατάλληλον οὕτως μᾶλλον σαφὲς γίνεται· ὅτι ἡ δίκη οὐκ ἔστιν ἐν ὀφθαλμοῖς βροτῶν, οὐδὲ δίκαιος 40
οὗτος ὃς πρὶν τὸ σπλάγχνον σαφῶς ἐκμαθεῖν τοῦ πέλας, στυγεῖ ἀπὸ τῆς ὄψεώς τινα οὐδὲν ἠδικημένος ὑπ' αὐτοῦ. οὕτως Εἰρηναῖος. | εἰς δὲ τὸ μή μοί τι μέμφησθε προσληπτέον ἔξωθεν τὸ ὅπως. αἰτίαν γάρ φησι τοῦ ἐξεληλυθέναι, ὅπως μὴ ὑπὸ αἰτίαν πέσῃ. **216** | B σεμνοὺς γεγῶτας: πολλοὶ γάρ, φησί, τῶν ἀνθρώπων διὰ τὸ κεχωρίσθαι καὶ μὴ 45
ὁμιλεῖν τισιν ἀλαζόνες καὶ ὑπερήφανοι ἔδοξαν εἶναι. οἱ δὲ ἐκ τῶν ἐναντίων συνεχῶς φαινόμενοι καὶ ἐπιπολάζοντες ὀχληροὶ καὶ ἐπαχθεῖς ἔδοξαν εἶναι. ἔνιοι δ' αὐτῶν ἡσύχιον βίον ἑλόμενοι καὶ προιόντες μὲν οὐδενὶ δὲ πελάζοντες εὐτελεῖς ἐνομίσθησαν καὶ νωθροί· ῥαθυμίαν γὰρ τὴν νωθρότητα λέγει. καὶ νῦν δὲ τὸ σεμνὸν ἀντὶ τοῦ ὑπερήφανον ὡς καὶ ἐν Ἱππολύτῳ 50
[92] 'μισεῖ τὸ σεμνὸν καὶ τὸ μὴ πᾶσιν φίλον'. γεγῶτας δέ, δοκοῦντας εἶναι. | B ἄλλως: ὀμμάτων ἄπο: ἀντὶ τοῦ· κεχωρισμένους καὶ πόρρωθεν ὄντας. ἢ νοουμένους ἀπὸ τῆς τῶν ὀφθαλμῶν καταστάσεως. τοῦτο δὲ οὐκ οἰκεῖον τοῖς ἐπιφερομένοις. | Bε μὴ ὁρωμένους.

---

1 lemmate ἄλλωσ praescr. scholio p. 23, 11—14 adi V. de codicis B laciniis cf. u. 8. 19 **2** ὡς: ἢ V εὔφορον V ἢ τὴν V **3** διὰ B: ἐπὶ V **3s** ἐπικαλεῖσθαι· ταῦτα δὲ eqs V **4** διὰ om V **5** συμπράττειν VB: em Schw. προσυπομν- B **7** προκειμένοισ VB: em Schw. prius διὰ B: δὴ V **8** λέγει οὖν om V ὅτι τῆι παρέδρωι τῶι διὶ δικαιοσύνηι ἤγουν B ἔπραξεν· ὁρκίαν δὲ αὐτὴν εἶπεν ὡσ τῶν ὅρκων ἔφορον καὶ συνθηκῶν πρύτανιν B **9** αὐτήν—**11** τόπον B: ἐπόρευσεν αὐτὴν νυκτερινὴν εἰσ τὴν ἑλλάδα τὴν ἐναντίαν κατὰ τὸν πόρον τῆσ σκυθίασ V **9** ἑλλάδα διὰ B **11** ἡ μὲν γὰρ ἑλλὰσ ἐν τ. δ. κεῖται ἡ δὲ V **12** ταῖσ ἀνατολαῖσ B πῶς—**13** Ἰάσονι om V **17** [[ ]] Wil. **19** δὲ λέγει τὴν θεὸν ὡσ ἑξῆσ ἐπάγει ὥστε καὶ ἄνω διὰ τῆσ θέμιδοσ τὸν δία ἐπικαλεῖσθαι, ἡ θέμισ δὲ B ⟨ ⟩ Schw. **20** π. ὡς Ἀπ. Wil. Reitz.: πρὸσ ἀπόλλωνα B[i] **22** ὅτι om V **23** πρὸσ τὸν χορόν V **24** ἡμᾶσ V μοί τι B: ποτε V **25** προσελθούσῃ V **26** με B **34** ἔνεστιν ἐν B **35** προσῆλθον B: em Schw. **36** [[ ]] Wil. ἀπ' Wil.: ἐπ' B **38** ἤτοι Wil.: ἢ ὅτι B **39** οὕτως Schw.: ὅτι B **43** ὅπως Schw.: ὅπου B **48** παρόντεσ B: em Schw.

ABV LP

τοὺς δ᾽ ἐν θυραίοις· οἱ δ᾽ ἀφ᾽ ἡσύχου ποδὸς
δύσκλειαν ἐκτήσαντο καὶ ῥᾳθυμίαν.
δίκη γὰρ οὐκ ἔνεστ᾽ ἐν ὀφθαλμοῖς βροτῶν,
ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς 220
στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος.
χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
οὐδ᾽ ἀστὸν ᾔνεσ᾽ ὅστις αὐθάδης γεγὼς
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
ἐμοὶ δ᾽ ἄελπτον πρᾶγμα προσπεσὸν τόδε 225
ψυχὴν διέφθαρκ᾽· οἴχομαι δὲ καὶ βίου
χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.
ἐν ᾧ γὰρ ἦν μοι πάντα, γιγνώσκεις καλῶς,
κάκιστος ἀνδρῶν ἐκβέβηχ᾽ οὑμὸς πόσις.
πάντων δ᾽ ὅσ᾽ ἔστ᾽ ἔμψυχα καὶ γνώμην ἔχει 230
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν·
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
πόσιν πρίασθαι δεσπότην τε σώματος
λαβεῖν· κακοῦ γὰρ τοῦτ᾽ ἔτ᾽ ἄλγιον κακόν·
κἀν τῷδ᾽ ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν 235
ἢ χρηστόν. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
γυναιξίν, οὐδ᾽ οἷόν τ᾽ ἀνήνασθαι πόσιν.
εἰς καινὰ δ᾽ ἤθη καὶ νόμους ἀφιγμένην
δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ. 240
κἂν μὲν τάδ᾽ ἡμῖν ἐκπονουμέναισιν εὖ

---

218 δύσνοιαν uel δυσκολίαν (ad Σ) ci Prinz **219** ἔνεστιν ὀ. V et L a. corr.: ΣB lemm. cum gnomol. Veneto **220** σπλάγχνα γ᾽ Wecklein ἐκμάθῃ Eustath. Il. p. 415: ἐκμάθοι L[1] a. corr. **224** πολίτησ AVB **228** γι(γ)νώσκειν ll.: Σ u. l.: em Musgrave: γιγνώσκω Canter **231** φυτόν: γρ. γένοσ minio sscr. A **232** δεῖ om A **234** damnauit Prinz τοῦτ᾽ ἔτ᾽ Wil. Brunck: τοῦ δ᾽ ἔτ᾽ Lenting cum LP: τοῦτό γ᾽ B Stob. 73, 27: τοῦτ᾽ AV: τόδ᾽ Haun. κακόν; Lenting **235** λάβῃ ll. praeter LP: V[3] (sscr.) **236** εὐχερεῖς Nauck **240** ὅπως Meineke συνευνέτῃ ll. praeter LP

SCHOL. **217** | B οἱ δ' ἀφ' ἡσύχου: οἷον <οἱ> ἡσύχιον βίον ἐπανῃρη-
μένοι. ἀντὶ τοῦ· φαινόμενοι, μηδὲν δὲ πράττοντες, ἀλλ' ἡσυχίαν ἄγοντες.
ἄλλοι δὲ ἐπὶ ἡσυχίας ἰδιοπραγμονοῦντες ὑπόνοιαν ἔσχον δυσκολίας καὶ ἀργίας.
ῥᾳθυμίαν γὰρ τὴν ἀργίαν. | B^i οἱ ἡσύχιον βίον ἐπανῃρημένοι δυσ-
κλεεῖς μὲν ἐνομίσθησαν, πρᾷοι δὲ τὴν ψυχήν. τοὺς ἐν θυραίοις δέ 5
φησι [[ἀντὶ]] τοὺς ἐν τοῖς οἴκοις τῶν ἑτέρων συνεχῶς φαινομένους, παρὰ
τὸ Ἰσοκρατικὸν [1, 20] 'τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνάς'. **219** | B δίκη
γὰρ οὐκ ἔνεστιν: διὰ τοῦτο δὲ συμβαίνει τὸ ἄλλοτε ἄλλως τοὺς ἀνθρώ-
πους τὰ ἀλλήλων δοξάζειν, διὰ τὸ μὴ δύνασθαι ἐξ ὄψεως δοκιμάζειν ἑκάστου
τὸν τρόπον· ὅπερ πάσχουσιν οἱ πολλοί, οἳ πρὶν τὸν τρόπον σαφῶς κατα- 10
νοῆσαι, ἁπλῶς ἐκ τῆς τῶν ὀφθαλμῶν προσβολῆς μισοῦσι τὸν δεῖνα οὐδὲν
ἠδικημένοι πρὸς αὐτοῦ. **222** | VB χρὴ δὲ ξένον μέν: προσήκει
δὲ πάντα ξένον πρὸς τὰ τῆς πόλεως νόμιμα χωρεῖν καὶ ἁρμόζειν ἑαυτὸν
τοῖς ἤθεσι τῶν πολιτῶν. ὅθεν κἀγὼ πρόειμι πρὸς ὑμᾶς τὸ πρέπον τοῖς ἐπὶ
ξένης πράττουσα. **226** | B τὴν ἐν τῷ βίῳ ἡδονήν, περιφραστικῶς 15
αὐτὸ τὸ ζῆν. **228** | B τοῦτο ἐν ἤθει ἀναπεφώνηται. ἐν ᾧ ἦν
μοι πάντα, κάκιστος ἀνδρῶν ἐκβέβηκεν. οἱ δ' ὑποκριταὶ οὐ συμπεριφερό-
μενοι τῷ τρόπῳ λέγουσι γινώσκειν καλῶς. **232** | B χρημάτων
λέγει τῶν εἰς τὴν φέρνην. τοῦτο δὲ ὁ Εὐριπίδης ἀπὸ τῆς καθ' αὐτὸν συνη-
θείας λέγει. οἱ δὲ ἥρωες οὐχ οὕτως ἐποίουν τοὺς γάμους, ἀλλ' ἐκ τῶν 20
ἐναντίων αὐτοὶ ἐδίδοσαν, καθάπερ καὶ αὐτὸς ἐν ἄλλοις παρίστησι. καὶ
Ὅμηρος [Λ 244]· 'πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη'.
233 | B ἀναχρονισμός· οἱ γὰρ ἥρωες τὸ ἐναντίον παρεῖχον. · **234** | VB κα-
κοῦ γὰρ τοῦτ': κακὸν μὲν τὸ χρημάτων ὑπερβολῇ πρίασθαι, ἀλγεινότερον
δὲ κακὸν τὸ καὶ δεσπότην ἄντικρυς λαμβάνειν. **235** | VB ἢ κακὸν 25
λαβεῖν: ὅτι κἂν κακὸς ᾖ, στέργειν δεῖ. ἀκλεὲς γὰρ γυναικὶ ἀπολιπεῖν τὸν
οἰκεῖον ἄνδρα. **238** | VB εἰς καινὰ δ' ἤθη: τοῦτο πρῶτόν ἐστι τῇ
τάξει τῶν πραγμάτων [[τοῦ]] κατὰ τὸν νόμον τοῦ γάμου. πρότερον γάρ
ἐστι τὸ τὴν παρθένον ἀπιέναι πρὸς τὸν νυμφίον, εἶθ' οὕτως πειρᾶσθαι τούτου
εἴτε δεξιοῦ ἢ κακοῦ. καινὰ δ' ἤθη λέγει καὶ νόμους τοὺς παρὰ 30
τῷ ἀνδρί. νόμους δὲ λέγει τοὺς τῆς οἰκίας κανόνας καὶ τύπους. |
B τὰ ἤθη καὶ τοὺς νόμους τῶν ἀνδρῶν.

---

6 [[ ]] Schw. **7** ποιοῦ πυκνάς Ps. Isocr.: ποιουμένουσ B^i **12** *l* om B
13 χαίρειν B **14** πρόσειμι B **15** ξένοισ πράττουσιν V **18** γινώσκει Murray
21 cf. Hipp. 625 **23**s *l* om B **25** δεσπότην αὐτὸν V **25**s ἢ κακὸν
λάβῃ V: οὐ γὰρ εὐκλ. sscr. ε B **26**s ἀκλεὲσ—ἄνδρα V: οὐ γὰρ εὐκλεὲσ
γυναῖκα καταλιπεῖν τὸν οἰκεῖον ἄνδρα ἀλλ' ἀκλεέσ B **26** ἀντιλυπεῖν V:
em Schw. **27** *l* om B **28** τοῦ πράγματοσ VB: em Schw. [[ ]] Din-
dorf τὸν om B **29** παρθενίαν V τῶν πραγμάτων ἀπιέναι V: παρὰ
τ. πρ. ἀπ. B: em Schw. (cf. ad 28) **30** ἤθει B: ἤδη V περὶ V

ABV LP

πόσις ξυνοικῇ μὴ βίᾳ φέρων ζυγόν,
ζηλωτὸς αἰών· εἰ δὲ μή, θανεῖν χρεών.
ἀνὴρ δ' ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης, 245
[[ἢ πρὸς φίλον τιν' ἢ πρὸς ἥλικας τραπείς·]]
ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορί·
κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ' ἀσπίδα 250
στῆναι θέλοιμ' ἂν μᾶλλον ἢ τεκεῖν ἅπαξ.
ἀλλ' οὐ γὰρ αὑτὸς πρὸς σὲ κἄμ' ἥκει λόγος·
σοὶ μὲν πόλις θ' ἥδ' ἔστι καὶ πατρὸς δόμοι
βίου τ' ὄνησις καὶ φίλων συνουσία,
ἐγὼ δ' ἔρημος ἄπολις οὖσ' ὑβρίζομαι 255
πρὸς ἀνδρός, ἐκ γῆς βαρβάρου λελῃσμένη,
οὐ μητέρ', οὐκ ἀδελφόν, οὐχὶ συγγενῆ
μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι,
ἤν μοι πόρος τις μηχανή τ' ἐξευρεθῇ 260
πόσιν δίκην τῶνδ' ἀντιτείσασθαι κακῶν
[[τὸν δόντα τ' αὐτῷ θυγατέρ' ἥν τ' ἐγήματο]],
σιγᾶν. γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα,
κακή τ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·

242 ξυνοικεῖ V[1] **243** χάρις Wecklein **244** om A συνών LP **245** καρδίας ἄσην Olympiod. in Plat. Alc. p. 188 ἄτησ V : ἄσσησ P **246** spurium del Wil. φίλων L[1] Haun.[2] ἥλικα ll. praeter Haun. **252** αὑτὸσ sscr. A[1] L[1] : αὐτὸσ ll. **253** πόλισ θ' LPV : πόλισ B : γὰρ πόλισ A **254** κοινωνία u. l. AB **257** οὐχὶ : οὐδὲ LP **259** οὖν LP : δὲ rell. **261** δίκῃ ll. praeter D τόνδ' L **262** seclusit Lenting., defendit A. Roemer Abh. d. bayer. Akad. d. W. I. Kl. 22 Bd. 3. Abh. 1904 δόντα γ' LP ᾗ τ' ἐγ. Porson : ἥν τ' ἐγ. ll. cf. Eustath. Il. p. 694 **264** κακή τ' Tyrwhitt : κακὴ δ' ll.

SCHOL. **242** | B μὴ βίαν ἡγούμενος μηδὲ ἀνάγκην τὴν συμβίωσιν. **244** | B ὅταν τι τῶν κατ' οἰκίαν λυπῇ, προελθὼν που παρεμυθήσατο. **247** | B[i] τὴν τοῦ ἀνδρός. **249** | B[i] οἱ ἄνδρες. **252** | B οὐχὶ περὶ σοῦ, φησί, ταῦτα ⟨ἂν⟩ λεχθείη· οὐ γὰρ ὁμοίως ἔχεις ἐμοὶ τύχης. **256** | VB[i] βαρβάρου λελῃσμένη: ἀντὶ τοῦ λεληϊσμένη· συνήλιπται 5

γάρ· καὶ ὥσπερ αἰχμαλωτισθεῖσα. δεινοπαθοῦσα τοῦτό φησιν ὡς προσδοκήσασα μὲν σύνοικον ἕξειν τὸν Ἰάσονα, δεινότερα δὲ αἰχμαλώτου πάσχουσα. **258** | VB μεθορμίσασθαι: λείπει τὸ ὥστε μεθορμίσασθαι. τὸ δὲ ἑξῆς· οὐ μητέρα, οὐκ ἀδελφόν, οὐ συγγενῆ ἔχουσα πρὸς τὸ καταφυγοῦσαν πρός τινα τούτων ἀπαλλαχθῆναι τῆς συμφορᾶς. ἡ μεταφορὰ 10 ἀπὸ τῶν μεθορμιζόντων εἰς τοὺς εὐδιεινοτέρους τόπους. **263** | Bi ἀντὶ τοῦ δειλοτάτη. ἀπὸ κοινοῦ τὸ τίσασθαι. **264** | VB κακὴ δ' ἐς ἀλκήν: ἀντὶ τοῦ ἀσθενής. ὁ δὲ λόγος· πᾶσα μὲν γυνὴ δειλοτάτη ἐστὶν ἐν τοῖς ἄλλοις ἅπασι καὶ ἀσθενής, οὐδὲ ὅσον γυμνὸν ἰδεῖν ξίφος καρτεροῦσα· ὅταν δὲ εἰς κοίτην ἀδικηθῇ, τολμηροτάτη γίνεται. | B Παρ- 15 μενίσκος γράφει κατὰ λέξιν οὕτως· 'ταῖς δὲ Κορινθίαις οὐ βουλομέναις ὑπὸ βαρβάρου καὶ φαρμακίδος γυναικὸς ἄρχεσθαι αὐτῇ τε ἐπιβουλεῦσαι καὶ τὰ τέκνα αὐτῆς ἀνελεῖν, ἑπτὰ μὲν ἄρσενα, ἑπτὰ δὲ θήλεα. [[Εὐριπίδης δὲ δυσὶ μόνοις φησὶν αὐτὴν κεχρῆσθαι.]] ταῦτα δὲ διωκόμενα καταφυγεῖν εἰς τὸ τῆς Ἀκραίας Ἥρας ἱερὸν καὶ ἐπὶ τὸ ἱερὸν καθίσαι. Κορινθίους δὲ 20 αὐτῶν οὐδὲ οὕτως ἀπέχεσθαι, ἀλλ' ἐπὶ τοῦ βωμοῦ πάντα ταῦτα ἀποσφάξαι. λοιμοῦ δὲ γενομένου εἰς τὴν πόλιν πολλὰ σώματα ὑπὸ τῆς νόσου διαφθείρεσθαι. μαντευομένοις δὲ αὐτοῖς χρησμῳδῆσαι τὸν θεὸν ἱλάσκεσθαι τὸ τῶν Μηδείας τέκνων ἄγος. ὅθεν Κορινθίοις μέχρι τῶν καιρῶν τῶν καθ' ἡμᾶς καθ' ἕκαστον ἐνιαυτὸν ἑπτὰ κούρους καὶ ἑπτὰ κούρας τῶν ἐπισημο- 25 τάτων ἀνδρῶν ἐναπενιαυτίζειν ἐν τῷ τῆς θεᾶς τεμένει καὶ μετὰ θυσιῶν ἱλάσκεσθαι τὴν ἐκείνων μῆνιν καὶ τὴν δι' ἐκείνους γενομένην τῆς θεᾶς ὀργήν'. Δίδυμος δὲ ἐναντιοῦται τούτῳ καὶ παρατίθεται τὰ Κρεωφύλου ἔχοντα οὕτως· 'τὴν γὰρ Μήδειαν λέγεται διατρίβουσαν ἐν Κορίνθῳ τὸν ἄρχοντα τότε τῆς πόλεως Κρέοντα ἀποκτεῖναι φαρμάκοις. δείσασαν δὲ τοὺς φίλους 30 καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς Ἀθήνας, τοὺς δὲ υἱούς, ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδύναντο ἀκολουθεῖν, ἐπὶ τὸν βωμὸν τῆς Ἀκραίας Ἥρας καθίσαι νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς σωτηρίας αὐτῶν. τοὺς δὲ Κρέοντος οἰκείους ἀποκτείναντας αὐτοὺς διαδοῦναι λόγον ὅτι ἡ Μήδεια οὐ μόνον τὸν Κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς παῖδας ἀπέκτεινε'. γεγονέναι δὲ 35 παραπλήσιον μυθεύεται καὶ περὶ τὸν Ἄδωνιν.

---

4 ⟨ ⟩ Schw. **5** συνείληπται VBi: em Dindorf **6** δὲ τοῦτο V φησιν Schw.: ἔφη VBi **7** δεινώτερα Bi: δεινότερον V **8s** μεθορμίσθαι — μεθ. om V ωσ ὥστε B **9** alterum οὐ V: οὐχὶ B σχοῦσαν V **10** ἀντιφυγοῦσαν V μεταβληθῆναι B: ἀντιβληθῆναι V: em Schw. **11** εὐδινωτέρουσ τρόπουσ V **13** ὁ δὲ λόγος om V **14** ἐν om V ὅσον — ἰδεῖν B: εἰσ τὸ ὁρᾶν γυμνὸν V **15** ἀδ. B: ἄλλην ὁ ταύτησ πόσισ εἰσέλθη V **15s** sine lemmate uel signo B cf. schol. 9 Ael. uar. hist. 5, 21 **16s** initium P. uerborum mutilatum, βουλομέναις ⟨εἶναι⟩ Wil. **18s** [[ ]] Schw. utpote recens adiecta **22** εἰς τὴν πόλιν Parmeniscum non scripsisse uidit Schw. **28** κρεοφύλου B **29—35** cf. Apollod. bibl. 1, 9, 28, 3 **33** καθιεῖν B: em Matthiae **36** ἀδελφὸν siue Ἄψωρον ci Wil.

ABV LP

ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ, 265
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

ΧΟ. δράσω τάδ'· ἐνδίκως γὰρ ἐκτείσῃ πόσιν,
Μήδεια. πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.
ὁρῶ δὲ καὶ Κρέοντα τῆσδ' ἄνακτα γῆς
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων. 270

ΚΡ. σὲ τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν
φυγάδα λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
καὶ μή τι μέλλειν· ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ' εἰμὶ κοὐκ ἄπειμι πρὸς δόμους πάλιν, 275
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.

ΜΗ. αἰαῖ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,
κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ' ὅμως, 280
τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον;

ΚΡ. δέδοικά σ', οὐδὲν δεῖ παραμπίσχειν λόγους,
μή μοί τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
συμβάλλεται δὲ πολλὰ τοῦδε δείματος·
σοφὴ πέφυκας καὶ κακῶν πολλῶν ἴδρις, 285
λυπῇ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
κλύω δ' ἀπειλεῖν σ', ὡς ἀπαγγέλλουσί μοι,
τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
δράσειν τι. ταῦτ' οὖν πρὶν παθεῖν φυλάξομαι.
κρεῖσσον δέ μοι νῦν πρὸς σ' ἀπεχθέσθαι, γύναι, 290
ἢ μαλθακισθένθ' ὕστερον μέγα στένειν.

ΜΗ. φεῦ φεῦ·
οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,
ἔβλαψε δόξα μεγάλα τ' εἴργασται κακά.

χρὴ δ' οὔποθ' ὅστις ἀρτίφρων πέφυκ' ἀνὴρ
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς· 295

---

265 κύρη(ι) A[1] a. corr.: B[1] **267** δράσω P: V[3] (sscr.) θαυμάσω B **269** δέ σοι Herwerden: δ' ἐκεῖ ci Wecklein **270** καινὸν V[1] **273** λαβοῦσα V[1] σαυτῇ L: αὐτῇ rell. (αὑτῇ V[2]) **277** αἶ αἶ ll. praeter L, qui αἲ αἲ **278** δὴ om A **279** εὐπρόσωπος Nauck: εὐπόριστος Herwerden: εὐπροσίτεος Hartung: εὐπρόσορμος Wecklein **280** λέγουσ' A **281** τῆσδε γῆσ V ad ἀποστ. cf. Σ **282** παραμπίσχειν L: περιαμπίσχειν P: παραμπέχειν AVB cum Σ lemm. **284** δείγματα Wieseler τοῦτ' ἐς δεῖμά μοι uel τοῦτ' ἐς δείματα temptauit Wecklein **287** ἀπειλεῖσ B[1], probauerit Prinz κλύω cum Brunckio corruptum ratus σ' om ll. praeter LB[2] **290** σ' om VP[1] ἀπέχθεσθαι uel ἀπέχεσθαι ll.: em Elmsley **291** μεταστένειν Nauck **292** με om A[1]: γε ci Hirzel **293** γλῶσσα Stob. 36, 3

Schol. **269** | Bi οὐ θαυμάσω σε ἐπὶ τῷ πενθεῖν τὰς τύχας· δικαίως γὰρ πενθεῖς. **276** | Bi τῶν τελευταίων τόπων. ἡ δὲ εὐθεῖα τούτου τὰ τέρμονα. **278** | B ἐχθροὶ γὰρ ἐξιᾶσι: οἱ ἐχθροὶ οὐριοδρομοῦσι καθ' ἡμῶν καὶ ὥρμηνται πάντα τρόπον ἐφ' ἡμᾶς, ἀπὸ μεταφορᾶς τῶν οὐριοδρομούντων καὶ χαλώντων πρὸς τὸ πνεῦμα ⟨τὰ⟩ τοῦ ἀρτέμονος. | 5
Bi οἷον πᾶσαν μηχανήν. **279** | Bi εὐεπιβούλευτος καὶ ῥᾳδία πρὸς τὸ διαφυγεῖν ἄτην. **281** | Bi ἀντὶ τοῦ ἀπείργεις. ἐξεδέξαντο δὲ καὶ κατὰ ἀναστροφήν, ἀπὸ γῆς στέλλεις. **282** | V δέδοικά σ', οὐδέν: τὸ ἑξῆς· δέδοικά σε μή μοί τι δράσῃς. παραμπέχειν, ἀντὶ τοῦ περικαλύπτειν. ὁ δὲ νοῦς· εὐσχημόνως οὐ δεῖ τοὺς λόγους λέγειν καὶ περιστέλλειν 10
καὶ περικαλύπτειν, ἀλλ' ἐκ τοῦ ἐναντίου ἐμφαίνειν καὶ ἄντικρυς λέγειν ὅτι δέδοικά σε. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς ἀμπεχόνης. | B τὸ ἑξῆς· δέδοικα μή μοί τι δράσῃς παῖδα. παραμπέχειν δέ, [[φυλάσσεσθαι ἤτοι]] φυλάσσειν περιστέλλειν ἀποκρύπτειν. καὶ τὸ μαλθακισθέντα δέ, ἀντὶ τοῦ ἀμελῶς προσενεχθέντα. ἢ μαλθακισθέντα τοῖς σοῖς λόγοις. 15
283 | Bi ἀμήχανον ἀθεράπευτον. **285** | Bi ἔμπειρος φαρμακὶς καὶ μάγος. **289** | Bi κακοποιῆσαι. **293** | B ἔβλαψε δόξα: ἀντὶ τοῦ· ἡ δόξα μου βλάπτει με. σὺ γὰρ νομίζων με σοφὴν ἀπελαύνεις με δεδοικώς με. | Bi ἡ ὑπένοια τῆς σοφίας. **295** | Bi συνετοὺς ἄγαν. ὑπερβαλλόντως. 20

---

1 τὰς: γὰρ Bi **5** ⟨ ⟩ Schw. **7** αὐτὴν Bi: em Schw. ἐπείργεισ Bi: em Schw. cf. Hesych. s. u. ἀποστέλλεις **13**s [[ ]] Wil. **18** σοφὴν Barnes: φησὶν B **19** συνετὸσ Bi

ABV LP

χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας
φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ
δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·
τῶν δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον 300
κρείσσων νομισθεὶς ἐν πόλει λυπρὸς φανῇ.
ἐγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.
σοφὴ γὰρ οὖσα, τοῖς μέν εἰμ' ἐπίφθονος,
[[τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου,]]
τοῖς δ' αὖ προσάντης· εἰμὶ δ' οὐκ ἄγαν σοφή. 305
σὺ δὴ οὖν φοβῇ με μή τι πλημμελὲς πάθῃς;
οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
ὥστ' ἐς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
τί γὰρ σύ μ' ἠδίκηκας; ἐξέδου κόρην
ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ' ἐμὸν πόσιν 310
μισῶ· σὺ δ', οἶμαι, σωφρονῶν ἔδρας τάδε.
καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν.
νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
ἐᾶτέ μ' οἰκεῖν· καὶ γὰρ ἠδικημένοι
σιγησόμεσθα, κρεισσόνων νικώμενοι. 315

ΚΡ. λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' ἔσω φρενῶν
ὀρρωδία μοι μή τι βουλεύῃς κακόν,
τοσῷδε δ' ἧσσον ἢ πάρος πέποιθά σοι·

296 ἀλκῆσ A αἰτίας Wyttenbach 297 παρ' Aristot. rhet. 2, 21. 1394 a 34 298 cf. Arist. Thesm. 1130 σοφά: ἔπη B^2B^3 301 λυπρὸσ ἐν πόλει AVB 304 om A^1 a. corr.: del Pierson (cf. 808): exh. Σ 305 seclus. Hirzel, partem tantum posteriorem utpote e 583 inuectam Prinz οὐδ' interpretatur Σ 306 δὴ οὖν Wil.: δ' αὖ ll. praeter ALP, qui δ' οὖν exh. μὴ τί Murray πάθησ; B 307 ἔχοιμι ll. praeter LPB 308 ὡσ A 309—311 deleuit Jessen 309 σὺ γὰρ τί μ' LP 313 πράσσετε LP: em L^2: πράσσοντε G. Herm. δὲ: δὴ LP: V^3 sscr. 317 βουλεύσησ ll.: em Elmsley 318 δ': γ' LP, τόσῳ δέ γ' Murray

SCHOL. **296** | VB ἧς ἔχουσιν ἀργίας: τὸ ἧς ἔχουσιν ἀργίας εἶπεν οὐχ ὡς τῷ ὄντι ἀργῶν ὄντων τῶν σοφῶν· προφανὲς γὰρ ὅτι

μέγιστος πόνος περὶ τὴν φιλοσοφίαν καὶ σπουδή· Ἡσίοδος [opp. 289]· 'τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν'· ἀλλ' ὡς πολλῶν δοξαζόντων οὐκ ὀρθῶς ἀργοὺς εἶναι τοὺς σοφούς. οἱ σοφοὶ οὖν, φησί, πρὸς τῷ δόξαν ἀργίας 5 ἔχειν καὶ φθονοῦνται ὑπὸ τῶν ἄλλων ἀνθρώπων· ὅθεν, φησί, καλῶς ἔχειν κρίνω μὴ χρῆναι εἰς ἄκρον παιδεύσεως ἥκειν τινά, ἵνα καὶ τούτων ἐκτὸς ᾖ. τοῦτο δὲ οὐ δογματίζων ὁ ποιητὴς λέγει, ἀλλ' ἁρμοζόμενος πρὸς τὸ ὑφεστηκὸς ἦθος, ἐπεὶ δοκεῖ ἡ Μήδεια σοφίας ἔχουσα δόξαν βλάπτεσθαι. **297** | Bi εὑρίσκουσιν, ἀπὸ τοῦ ἄλφα στοιχείου. **298** | Bi τοῖς 10 ἀπαιδεύτοις, τοῖς ἀνοήτοις. Bg παράδοξα. **299** | Bi ἄχρηστος εὐτελὴς ἀνωφελής. **300** | VB ὁ σοφός, φησί, καθ' ἑκάτερον ἀδικεῖται· ὑπὸ μὲν γὰρ τῶν ἀπαιδεύτων οὐ σοφὸς εἶναι νομίζεται, τοῖς δὲ ἐλλογίμοις λυπηρὸς εἶναι καταφαίνεται ὅταν κρείττων τούτων νομισθῇ. τὸ δὲ δ ο κ ο ύ ν τ ω ν οὐκ ἐπὶ ἀμφιβόλου κεῖται, ἀλλ' ἐπὶ τῶν τῷ ὄντι ὑπαρχόντων. 15 ἢ δ ο κ ο ύ ν τ ω ν [[ἢ]] πρὸς διαβολὴν τῶν φθονούντων ἐλλογίμων, εἰ καὶ τῇ ἀληθείᾳ ἐλλόγιμοί εἰσι, διὰ τὸ νοσεῖν τὸν φθόνον, ὃς οὐ πρὸς σοφοῦ. | B τῶν δοκούντων, φησίν, εἰδέναι τι κρείσσων νομισθεὶς ἐπαχθὴς ἔσῃ. ὥστε συμβαίνει καὶ παρὰ τοῖς ἀπαιδεύτοις ἐπαχθῆ εἶναι διὰ τὸ μὴ προσίεσθαι αὐτούς, καὶ παρὰ τοῖς συνετοῖς ὁμοίως ἕνεκα τοῦ διαφέρειν δοκεῖν 20 αὐτῶν ἐπίφθονον καὶ λυπηρὸν γίνεσθαι. **302** | Bi ἐγὼ δὲ αὐτή. **303** | VB ἐ π ί φ θ ο ν ο ς μέν, ζηλωτὴ τοῖς εἰδόσι, φθονουμένη· ἡ σ υ χ α ί α δέ, ἀνόητος, ἄχρηστος· τὸ δὲ θ α τ έ ρ ο υ τ ρ ό π ο υ ἢ πρὸς τὸ ἡ σ υ χ α ί α, ἵν' ᾖ συνετή, ἢ πρὸς τὸ τ ο ῖ ς μ έ ν ε ἰ μ' ἐ π ί φ θ ο ν ο ς, ὅ ἐστιν· ἐπίμεμπτος παρὰ τοῖς ἀπαιδεύτοις. ἢ τὸ θ α τ έ ρ ο υ τ ρ ό π ο υ ἀντὶ τοῦ ἐξηλλαγμένης 25 [[τῆς]] πολιτείας, ὅ ἐστι φαρμακίς· τοιοῦτοι γὰρ οἱ σοφοὶ παρὰ τοῖς ἀπαιδεύτοις καὶ ἀμαθέσι νομίζονται. **304** | Bi ἀντὶ τοῦ μωρά. | Bi τοῦ ἑτέρου, ὀργίλου. ἤγουν τῆς φαρμακείας. **305** | BBi ἐναντία εἰμὶ τοῖς ἀπαιδεύτοις καὶ οὐδ' ἄγαν σοφή. **318** | B τ ο σ ῷ δ ε δ' ἧ σ σ ο ν: τοσούτῳ δέ, φησίν, ὅσῳ γλυκεῖα μὲν εἶ τῷ λόγῳ ἄλλα δὲ φρονεῖς, τοσούτῳ 30 μᾶλλον ἀπιστότερος τυγχάνω ἢ πρὶν τῶν λόγων σου τούτων ἀκοῦσαι.

---

1 ἧσ B: δὲ V **3** περὶ τ. φ. B: τῇ φιλοσοφίᾳ ἐστὶ V **3s** Ἡσίοδος — προπάροιθεν om V **4** πρ sscr. ο B **5** οὖν φησί om V **6** καὶ om V **7** χρῆν V ἵνα — ᾖ om V ἐντὸς B: em Schw. **10** cf. etym. magn. p. 72, 50 Gud. p. 39, 39 **12** κρείσσων νομισθείσ *l* in V: signum ad v. 299 relatum in B ἕτερον V **13** εἶναι om V **14** ἀποφαίνεται V ὅ. τ. κρ. V **15** ἀμφιβόλωι B **15** ἀλλ' — **17** σοφοῦ om V **16** [[ ]] Schw. εἰσβολὴν B: em Reitz. Wil. **19** ἐπαχθὴσ B **22** φωνουμένη V ἡσυχία V **25** παρὰ τοῖς om V **25** ἢ — **27** νομίζονται om V **26** [[ ]] Arsenius **28** φαρμα sscr. κ Bi εἰμὶ δὲ Bi

ABV LP

γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός. 320
ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην ὅπως
μενεῖς παρ' ἡμῖν οὖσα δυσμενὴς ἐμοί.

ΜΗ. μή, πρός σε γονάτων τῆς τε νεογάμου κόρης.
ΚΡ. λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ. 325
ΜΗ. ἀλλ' ἐξελᾷς με κοὐδὲν αἰδέσῃ λιτάς;
ΚΡ. φιλῶ γὰρ οὐ σὲ μᾶλλον ἢ δόμους ἐμούς.
ΜΗ. ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.
ΚΡ. πλὴν γὰρ τέκνων ἔμοιγε φίλτατον πολύ.
ΜΗ. φεῦ φεῦ, βροτοῖς ἔρωτες ὡς κακὸν μέγα. 330
ΚΡ. ὅπως ἄν, οἶμαι, καὶ παραστῶσιν τύχαι.
ΜΗ. Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν.
ΚΡ. ἕρπ' ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
ΜΗ. πονοῦμεν ἡμεῖς κοὐ πόνων κεχρήμεθα.
ΚΡ. τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσῃ βίᾳ. 335
ΜΗ. μὴ δῆτα τοῦτό γ', ἀλλά σ' αἰτοῦμαι, Κρέον —
ΚΡ. ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
ΜΗ. φευξούμεθ'· οὐ τοῦθ' ἱκέτευσα σοῦ τυχεῖν.
ΚΡ. τί δὴ βιάζῃ κοὐκ ἀπαλλάσσῃ χερός;
ΜΗ. μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν 340
καὶ ξυμπερᾶναι φροντίδ' ᾗ φευξούμεθα,
παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.

---

319 ὧσ V αὔτωσ ALP **320** σιωπηλόστομος lusit Housman σφοδρός F. W. Schmidt: χόλος Gomperz **322** ἔχει V[1] **323** μένησ ll. praeter LPV[3] **325** ἂν πείσησ V[2]: ἀναπείσεις Stahl **329** πλεῖν V[1] τέκνον V[1] e corr. κἄμοιγε Bothe πόλισ B[2] **332** λάθη LP cum Zonar. 10, 20: em P[3] **333** ἔρρ' Valckenaer **334** κοὐ νέων F.W. Schmidt: κἀμπνοῶν Prinz πόνοισ sscr. L[1] πόνος μέν· ἡμεῖς δ' οὐ πόνῳ κεχρήμεθα; Musgrave **335** ss sic ordinauerit Prinz: 337. 6. 5. 8 **335** ὠθήσῃ ll. praeter AL **336** οὐ ci Prinz **339** δὴ Elmsley: δαὶ Housman: δ' οὖν P: δ' αὖ rell. χερός Wil.: χθονόσ ll. **342** cf. Σ B i

SCHOL. **319** | B γυνὴ γὰρ ὀξύθυμος: πᾶσα γάρ, φησίν, ὀξύθυμος γυνή, ὁμοίως δὲ καὶ ἀνήρ, εὐμαρέστερον ἂν φυλαχθείη ἢ ὁ κρύπτων τὴν ὀργήν. τοὺς γὰρ φανερῶς ὀργιζομένους εὐμαρὲς προορώμενον φυλάττεσθαι, τοὺς δὲ ἐν ἀφανεῖ κρύπτοντας τὴν μῆνιν οὐχ οἷόν τε διὰ τὸ ἀπρόοπτον. καὶ σὲ οὖν, φησί, σιωπηλὴν οὖσαν οὐκ εὐμαρὲς φυλάξασθαι. **320** | B ῥᾴων φυλάσσειν: ἀντὶ τοῦ φυλαχθῆναι καὶ τηρηθῆναι, ἐνεργητικὸν ἀντὶ παθητικοῦ. τοῦτο δὲ ἔθος ὡς ἐπὶ τὸ πλεῖστον τοῖς Ἀττικοῖς. λέγεται δὲ καὶ σιωπηρός. | B ἄλλως: ῥᾴων ἐστὶ φυλάττεσθαι, φησίν, ὀξύθυμος ἀνήρ, ὡσαύτως δὲ καὶ γυνή· φανεροὶ γάρ εἰσι καὶ πάντα ἐκχέουσιν ὀργιζόμενοι, ὁ δὲ σιωπηλὸς δυσπαραίτητός ἐστιν ἐν ἑαυτῷ κρύπτων καὶ καιροφυλακῶν τὴν ὀργήν. **322** | Bg κέκριται. **324** | B μὴ πρός σε: μέμφονται τῷ Εὐριπίδῃ ὅτι πεποίηκε τὴν Μήδειαν ἐξ ὧν λέγει, φανερὰν γινομένην τῷ Κρέοντι ὡς ὑπούλως ἔχει πρὸς τὴν νύμφην. **327** | B[i] ὁ ἢ ἀντὶ τοῦ ἀλλά. **328** | Bg λίαν. ἰσχυρῶς. **331** | B ἐπεὶ καθόλου ἡ Μήδεια τὸν ἔρωτα κακὸν ἀπεφήνατο, ἐπήγαγεν ὁ Κρέων τοῦτο ἀναιρῶν καί φησιν ὅτι ὁ ἔρως οὐκ ἀεὶ κακός, ἀλλ' ὡς ἂν ἄγηται ὑπὸ τῆς τύχης. πολλοὶ γὰρ ἐρασθέντες ἔτυχον. βλασφημεῖ δὲ τὸν ἔρωτα ἡ Μήδεια, ἐπεὶ καὶ ἐρασθεῖσα τοῦ Ἰάσονος ἐψεύσθη τῆς ἐλπίδος· οὗτος δέ φησι· μὴ καταμέμφου τοὺς ἔρωτας· ἔσθ' ὅτε γὰρ ἀγαθόν τι ποιοῦσιν, ἔσθ' ὅτε δὲ κακόν, ὡς ἂν ἡ τύχη παραγένηται. | B[i] ὅπως ἂν ἄγηται ὑπὸ τῆς τύχης καὶ παραστῇ ἡ τύχη πρὸς τὸ ἐρᾶν. **333** | Bg ἄπιθι. **334** | B πονοῦμεν ἡμεῖς: ἐπεὶ εἶπεν ὁ Κρέων καί μ' ἀπάλλαξον πόνων, φησί· ποίων πόνων; ἐγὼ γάρ εἰμι ⟨ἡ⟩ ἐν πόνοις οὖσα καὶ οὐκ ὀφείλω ἄλλους πόνους ἀναδέχεσθαι ἐφ' οἷς ἔχω. | B ἄλλως: οὐκ ἐν σπάνει κακῶν ἐσμεν· σὺ γὰρ οὐ πονεῖς καὶ ἐν κακοῖς τυγχάνεις. [[ἐπεὶ δὲ εἶπεν ὁ Κρέων καί μ' ἀπάλλαξον πόνων φησί· ποίων πόνων; ἐγὼ γάρ εἰμι ἡ ἐν πόνοις οὖσα καὶ οὐκ ὀφείλω ἄλλους ἀναδέχεσθαι πόνους ἐφ' οἷς ἔχω]] ὥστε μηδὲ ἀπέλαυνέ με τῶν Κορινθίων καὶ τοῦτόν μοι προστίθει τὸν πόνον ἐφ' οἷς ἔχω. ἱκανοὺς γὰρ ἔχω πόνους τῆς τε πατρίδος ἐστερημένη καὶ νῦν τὸν ἄνδρα ἀπολέσασα διὰ τὴν σὴν θυγατέρα. [[ὥστε]] τὸ πονοῦμεν ἡμεῖς διασταλτικῶς εἶπεν, οἷον· ἐγὼ πονῶ τοιαῦτα δεινὰ πεπονθυῖα, σὺ δὲ οὔ, μηδὲν χαλεπὸν ὑποστάς. **337** | Bg ἐνόχλησιν. **342** | B παισίν τ' ἀφορμήν: ἣν ἡμεῖς προβολὴν καλοῦμεν εἰς τὸ ζῆν, οἱ Ἀττικοὶ ἀφορμὴν λέγουσιν. | B[i] γράφεται παισίν τε φορβήν.

---

3 εὐμαρῶσ προορῶμεν B: em Wil. Schw. **12** s φανερὰν γινομένην V man. recentiss.: om B **15** ἐπεισήγαγεν B: em Schw. **16** ταῖσ τύχαις B: em Schw. **20** παραγένοιτο B: em Wil. **23** ⟨ ⟩ Schw. ὀφείλουσα B: em Schw. **25** ss [[ ]] Schw. **28** μήτε B: em Schw. τῆς Κορίνθου ci Schw. **30** [[ ]] Schw.

ABV LP

οἴκτιρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
πέφυκας· εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν. 345
τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα,
κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.

ΚΡ. ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν,
αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα·
καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι, 350
ὅμως δὲ τεύξῃ τοῦδε· προυννέπω δέ σοι,
εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ
καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονός,
θανῇ· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
νῦν δ', εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν· 355
οὐ γάρ τι δράσεις δεινὸν ὧν φόβος μ' ἔχει.

ΧΟ. δύστανε γύναι,
φεῦ φεῦ, μελέα τῶν σῶν ἀχέων.
ποῖ ποτε τρέψῃ; τίνα πρὸς ξενίαν
ἢ δόμον ἢ χθόνα σωτῆρα κακῶν 360
ἐξευρήσεις;
ὡς εἰς ἄπορόν σε κλύδωνα θεός,
Μήδεια, κακῶν ἐπόρευσε.

ΜΗ. κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω. 365
ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις
καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτε,
εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
οὐδ' ἂν προσεῖπον οὐδ' ἂν ἡψάμην χεροῖν. 370
ὁ δ' εἰς τοσοῦτον μωρίας ἀφίκετο
ὥστ' ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα
γῆς ἐκβαλόντι, τήνδ' ἐφῆκεν ἡμέραν
μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς

θήσω, πατέρα τε καὶ κόρην πόσιν τ' ἐμόν. 375
πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδούς,
οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι,

---

344 s et **346** s traiecerit Prinz **344** οἴκτειρε ll. **345** spurium censet Menzer εἰκὸς δέ σφιν Vitelli **351** σε A **354** θαν[...] L[1]: θανῇ L[8] **355** s eiecit Nauck, sic fere transposuerit Prinz: 350. 356 (σὺ γάρ τι) ὅμως δὲ τεύξῃ τοῦδ'· ἐφ' ἡμέραν μίαν | νῦν, εἰ μένειν δεῖ, μίμνε· προυννέπω δέ σοι κτλ.: μὴ γάρ τι δράσῃς, δεινὸν ὥς φ. μ' ἔχει· νῦν δ' κτλ. Housman **356** δράσαισ VB cf. Σ **357** om LPD **359** προξενίαν P: B[1] e corr. ΣB **359** s ξενίαν; ἢ Murray **360** δόμων L[1]P **361** ἐξευρήσεις secl. Elmsley **364** πανταχοῦ Christ. pat. 1063 **365** πωσ V **367** μικροὶ ABV (cf. 171) **368** ἂν om A ποτε: ποτ' ἂν LP **373** ἐκβάλλοντι V ἀφῆκεν ll.: em Nauck **375** τε om V **376—385** del Jessen **377** ὁποῖα V[1] a. corr.: ὁποίαν V[2] a. corr.: probat Wecklein

---

Schol. **345** | B εἰκός ἐστιν εὔνοιάν ⟨σ'⟩ ἔχειν: οὐδὲν δέ, φησίν, ἀπεικὸς πατέρα σε ὄντα εὔνοιαν καὶ στοργὴν ἔχειν, ἣν ἂν πρέπῃ πατρὶ πρὸς παῖδας. ὅθεν οἰκτειρόν με εἰδὼς αὐτὸς πείρᾳ τὴν πρὸς τὰ φίλτατα διάθεσιν. **348** | Bi λῆμα: φρόνημα. | Bi τυραννικόν: ὑπερήφανον. **349** | Bi αἰδούμενος δέ: τουτέστιν· εἴξας τισὶ πολλὰ 5 ἐζημιώθην. αἰσθόμενος δὲ ἑαυτοῦ καταθελγομένου καὶ καταγοητευομένου τοῖς λόγοις αὐτῆς ταῦτά φησιν. **351** | Bi τοῦ μεῖναι μίαν ἡμέραν. **356** | B οὐ γάρ τι δράσεις: Δίδυμος μετὰ τοῦτον φέρει τὸ [380] σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος καὶ μέμφεται τοῖς ὑποκριταῖς ὡς ἀκαίρως αὐτὸν τάσσουσιν. **359** | Bi πρόξενοι γὰρ καλοῦνται οἱ 10 ὑποδεχόμενοί τινα. **364** | B κακῶς πέπρακται: ἀντὶ τοῦ· οὕτω φανερῶς καὶ ἐναργῶς δυστυχοῦμεν καὶ ἐν κακοῖς ἐσμεν ὡς μηδένα δύνασθαι ἀντιλέγειν ὅτι οὐχ οὕτως ἔχομεν δυστυχίας. **365** | B ἀλλ' οὔτι ταύτῃ: ἀλλ' οὐχὶ κατὰ τοῦτο τὸ μέρος, φησί, κακῶς ἔχει τὸ καθ' ἡμᾶς, καθὸ πεισθεὶς ἡμῖν ἀπῆλθε Κρέων. τὸ ταύτῃ οὖν ἀντὶ τοῦ· κατὰ ταύτην 15 τὴν ὁδὸν καὶ τοῦτον τὸν τρόπον ταῦτα καλῶς πέπρακται. ἢ τὸ ταὐτά ὀξυτόνως, τουτέστιν· ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς ἀπῆλθεν, οὐ ταὐτὰ τὰ πράγματα, ἀλλὰ καλλίονα. ἀμφότερα δὲ εἰς ταὐτὸ ἀναστρέφουσιν. | B ἄλλως: τὸ ταῦτα πῇ μὲν περισπᾶται, πῇ δὲ ὀξύνεται, ὅ ἐστιν· ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς Κρέων ἀπῆλθεν, οὐ ταὐτὰ 20 τὰ πράγματά ἐστιν, ἀλλὰ βελτίονα. **371** | Bg ἀνοίας. **375** | B πόσιν τ' ἐμόν: πῶς ἐπαγγειλαμένη τὸν Ἰάσονα ἀνελεῖν οὐκ ἀνεῖλεν; ἢ τάχα ἐπεὶ ἐλθὼν ὁ ἄγγελος μετὰ θάνατον Γλαύκης καὶ Κρέοντος ἐθορύβησεν αὐτὴν λέγων χρῆναι τάχιστα φεύγειν· ἔνθα [1122] καί φησι Μήδεια, φεῦγε, ὅθεν οὐκ ἔσχε σχολὴν τοῦτο ἐργάσασθαι. εὐθὺς οὖν καὶ ὁ Ἰάσων παρα- 25 γίνεται πρὸς αὐτήν.

---

3 αὐτῆι B: em Schw. **16** ταὐτά: ταῦτα B **20** ταῦτα B

ABV
LP

πότερον ὑφάψω δῶμα νυμφικὸν πυρί,
ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
σιγῇ δόμους ἐσβᾶσ' ἵν' ἔστρωται λέχος. 380
ἀλλ' ἕν τί μοι πρόσαντες· εἰ ληφθήσομαι
δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
σοφαὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν. 385
εἶεν·
καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
ξένος παρασχὼν ῥύσεται τοὐμὸν δέμας;
οὐκ ἔστι. μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ, 390
δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον·
ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
κτενῶ σφε, τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
οὐ γὰρ μὰ τὴν δέσποιναν ἣν ἐγὼ σέβω 395
μάλιστα πάντων καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
πικροὺς δ' ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,
πικρὸν δὲ κῆδος καὶ φυγὰς ἐμὰς χθονός. 400
ἀλλ' εἶα· φείδου μηδὲν ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα καὶ τεχνωμένη·
ἕρπ' εἰς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
ὁρᾷς ἃ πάσχεις; οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
τοῖς Σισυφείοις τοῖς τ' Ἰάσονος γάμοις, 405
γεγῶσαν ἐσθλοῦ πατρὸς Ἡλίου τ' ἄπο.
ἐπίστασαι δέ· πρὸς δὲ καὶ πεφύκαμεν

γυναῖκες· ἐς μὲν ἔσθλ᾽ ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

378 ἐφάψω A **380** cf. Σ **382** νόμους Blaydes ὑπεσβαίνουσα Housman **384** τὴν σοφίαν (τὴν τέχνην minio sscr.) A: τ. θήλειαν Fr. Vogel **385** σοφοὶ Dalzel κτανεῖν V[3] sscr.: LP **386** πόλις: δόμοσ A **388** δέμας τόδε Christ. pat. 890 **392** συμφορά A ἀμήχανον Verrall **395** ss cf. Eupol. Dem. frg. 90 K. **396** μάλιστα — ξυνεργὸν om A **399** σφι A **400** ἐμᾶσ ll. praeter LPB[2] **401** εἶα ll. praeter LP **404** cf. Arist. nub. 662 οὐ: καὶ L ὄφλειν ll. **405** τοῖσδ᾽ Herwerden **407—409** deleuerit Hartung **408** ἐσμὲν ll.

SCHOL. **380** | B ὧδε καλῶς κεῖται. Δίδυμος σημειοῦται ὅτι κακῶς οἱ ὑποκριταὶ τάσσουσιν. ἐπὶ τῶν δύο τὸ σιγῇ δόμους εἰσβᾶσα· καύσω ἢ σφάξω αὐτούς. | B πρὸς τὸ ἐπελθεῖν αὐτοῖς κοιμωμένοις. **384** | B ᾗ μηχανῇ σοφαί ἐσμεν. ἐν ποίᾳ; ἐν τῇ τῶν φαρμάκων. κράτιστον, φησί, φαρμάκοις αὐτοὺς κτανεῖν κατὰ τὴν ὁδὸν ἐν ᾗ σοφαὶ πεφύκαμεν μάλιστα, δηλαδὴ τῇ τῶν φαρμάκων. **385** | B σοφοῦ ἐστι τὸ τὰ ἀντιπίπτοντα λύειν. **388** | B ῥύσεται: φυλάξει ἢ σώσει με. **389** | B οὐκ ἔστι: ἢ προπετῶς πρᾶξαί τι οὐκ ἔστιν ἢ οὐκ ἔστι μοι φίλος οὐδεὶς ὁ μέλλων με ὑποδέχεσθαι καὶ κρύπτειν. **390** | B πύργος ἀσφαλής: ἀντὶ τοῦ ὀχύρωμα σωτηρίας. καταχρηστικῶς δὲ τὴν σωτηρίαν πύργον ὠνόμασε παρὰ τὸ τοὺς ὑποδεδραμηκότας ὑπὸ πύργον ἐν πολέμῳ σῴζεσθαι. | B ἄλλως: ἐὰν μὲν εὕρω ἐχυρὰν καταφυγήν, σιωπῇ μετέρχομαι φαρμάκοις τὸν φόνον· ἐὰν δὲ ἐλαύνῃ με ἡ ἐξορία, τότε ξίφος λαβοῦσα κτενῶ σφε φανερῶς, εἰ καὶ ἐμοὶ πρόκειται συναπολέσθαι αὐτοῖς. **392** | B ἀμήχανος: ὅ ἐστι· μὴ παρέχουσα μηχανὴν πρὸς τὸ καταγοητεῦσαι τοὺς ἐχθρούς. | Bg ἀβοήθητος. **394** | B[i] πρὸς τὸ ἰσχυρὸν τῆς τόλμης ἔρχομαι, οἷον τολμῶ. **397** | V ὅταν μὲν ᾖ τριῶν ἡμερῶν, Σελήνη ὀνομάζεται, ὅταν δὲ ἕξ, Ἄρτεμις, ὅταν δὲ δεκαπέντε, Ἑκάτη. | B[i] τῆς πατρίδος ἢ τῆς οἰκίας τῆς ἐμῆς. **398** | B[i] τὸ ἑξῆς· οὐ γὰρ χαίρων τις αὐτῶν. **400** | B[i] ἡ ἐπιγαμβρία. **401** | B[i] ἀλλ᾽ ἄγε δή, μηδὲν κρύπτε. ταῦτα δὲ πρὸς ἑαυτὴν παρακελεύεται. **405** | B[i] τοῖς Κορινθίοις, ἀπὸ Σισύφου προπάτορος. λέγει δὲ τῷ Κρέοντι καὶ τῇ τούτου θυγατρὶ Γλαύκῃ. | B[i] τοῖς περὶ Ἰάσονα καὶ Γλαύκην. **407** | B ἐπίστασαι δὲ μηχανάς μέν τινας, δι᾽ ὧν αὐτοὺς φονεύσεις· εἰ δὲ καὶ μὴ ᾔδεις, ἔχεις αὐτὸ τὸ ἔμφυτον ταῖς γυναιξὶν εὑρεσίκακον. | B ἄλλως: γυναῖκές ἐσμεν, ἀντὶ τοῦ· εἰς μὲν τὰ ἀγαθὰ ἄποροι καὶ οὐχ ἱκαναὶ ἐξευρεῖν [[τὸ αἴτιον]], εἰς δὲ τὰ κακὰ εὔποροι καὶ ἱκαναὶ καὶ ἐξευρητικαί. **408** | B[i] ἀγαθὰ μὴ δυνάμεναι βουλεύσασθαι, κακῶν δὲ πάντων ἐργάστριαι.

1 sine signo uel lemmate in B **12** εἰ B: em Wil. **13** πόνον B: em Schw. **17** μὲν ᾖ Schw.: ἔνι V **25** εἶχεσ B: em Wil. **27** [[ ]] Schw. τοῦ Αἰήτου (460) latere ratus **28** ἐργαστήρια B[i]: em Schw.

ABV LP XO. ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί, στρ. 410
καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
ἀνδράσι μὲν δόλιαι βουλαί, θεῶν δ᾽
οὐκέτι πίστις ἄραρε.
τὰν δ᾽ ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν στρέψουσι 415
φᾶμαι·
ἔρχεται τιμὰ γυναικείῳ γένει·
οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει. 420
μοῦσαι δὲ παλαιγενέων λήξουσ᾽ ἀοιδῶν ἀντ.
τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
ὤπασε θέσπιν ἀοιδὰν 425

410 πηγαί ll. praeter V[1]B[1] a. corr. **411** πάλιν πάντα LP **414** ἄρηρε A[1] a. corr. L[1] **416** στρέφουσι ll. cum Σ: em Elmsley **420** φάμαι AV[1] **421** λήξουσιν ll.: em Heath ἀοιδὰν V: ῶ sscr. V[1]: ἀοιδᾶν rell. **422** ὑμνέουσαι V: ὑμνεῦσ᾽ L[2]: ὑμνοῦσαι Eustath. Il. p. 634 εὐπιστοσύναν V[1] **424** γνώμᾳ: γενεᾷ sscr. B[2] οὔτι γὰρ ἁμετέρᾳ Wecklein **425** ἔπνευσε B[1]: ὤπασε sscr. B[2]

SCHOL. **410** | VB ἄνω ποταμῶν: θέλει εἰπεῖν ὅτι ἀντέστραπται ἡ φύσις· οὐκέτι γὰρ δόλιαί εἰσιν αἱ γυναῖκες, ἀλλ᾽ οἱ ἄνδρες. παροιμία ἐπὶ τῶν εἰς τὸ ἐναντίον καὶ παρὰ τὸ προσῆκον μεταβαλλομένων πραγμάτων, οἷον· ἀντέστραπται τὰ πράγματα, ὥστε δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. λέγει δὲ 5 ταῦτα διὰ τὸν Ἰάσονα. ἀντεστράφη, φησίν, ἡ τάξις, καὶ ἄνδρες μὲν δόλιοι καὶ ἄπιστοι γεγόνασι, γυναῖκες δὲ αἱ πρῴην διαβαλλόμεναι ἔνδοξοι καὶ πισταί. | V ἄλλως: βεβαιῶ, φησίν, ὅτι τῶν ποταμῶν αἱ πηγαὶ ἄνω χωροῦσιν. **412** | VB[i] ἀνδράσι μὲν δόλιαι βουλαί: ἀντὶ τοῦ· καὶ τῶν ὅρκων καταφρονοῦσιν οἱ ἄνδρες. ταῦτα δὲ διὰ τὸν Ἰάσονα 10 λέγει, διὰ τὸ παραβῆναι τὰς συνθήκας τὰς πρὸς τὴν Μήδειαν. εἰς δὲ τὸ τὴν ἐμὴν βιοτὴν ἔχειν εὔκλειαν μεταβάλλουσιν αἱ φῆμαι, οἷον· ἀντιστρέφουσιν ὥστε τὴν ἐμὴν βιοτὴν ἔχειν εὔκλειαν. τὸ δὲ ἐμήν κατὰ κοινοῦ εἴρηκεν, οὐ δι᾽ ἑαυτὴν μόνην. | V ἄλλως: λείπει τὸ εἰσί. θέλει δὲ εἰπεῖν ὅτι ἀντέστραπται ἡ φύσις· οὐκέτι γὰρ αἱ γυναῖκες δόλιαί εἰσιν. 15 **415** | B τὸ δὲ ἑξῆς· τὰν δ᾽ ἐμὰν βιοτάν. ὁ δὲ νοῦς· ὁ λόγος ἀντιστρέφεται, ὅτι ἄπιστοι μὲν οἱ ἄνδρες, πισταὶ δὲ αἱ γυναῖκες, καὶ ἐροῦσι πάντες τὸν

ἡμέτερον βίον, τουτέστι τὴν γυναικείαν φύσιν, εὐκλεεστέραν εἶναι. | B τὰν δ᾽ ἐμὰν εὔκλειαν: ἐκ τῶν κατὰ τὴν Μήδειαν ἀδικημάτων ἐπελεύσονται τιμαὶ τῷ γυναικείῳ γένει, τῶν μὲν ἀνδρῶν ἀδίκων ἀποδειχθέντων, τῶν δὲ 20 γυναικῶν ἔμπαλιν δικαίων. οὐκέτι γὰρ ῥηθήσεται τὸ οὐ δεῖ πιστεύειν γυναικί. καθόλου οὖν λέγει ὅτι ἀντέστραπται τὰ πράγματα διὰ τὸ δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. ταῦτα δὲ λέγει διὰ τὸν Ἰάσονα. **422** | B τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν: ὅτι ἐπὶ κακοῦ τὸ ὑμνεῦσαι. Μοῦσαι δὲ παλαι- 25 γενέων, λοιπὸν δέ, φησίν, αἱ Μοῦσαι, αἱ τοὺς παλαιγενεῖς ἄνδρας τοὺς σοφοὺς παρορμήσασαι διασῦραι τὸ γυναικεῖον ἔθνος, λήξουσι τῶν ἀοιδῶν τῶν καθ᾽ ἡμῶν, ἐν αἷς ὡς ἄπιστοι διαβεβλήμεθα. τουτέστιν· οὐκέτι τοῖς ποιηταῖς ἐμπνεύσουσι τὸ καθ᾽ ἡμῶν τι λέγειν. ἢ Μοῦσαι παλαιγενέων, τὰ ποιήματα τῶν πάλαι σοφῶν ποιητῶν, τουτέστι· τὰ δὲ εἰρη- 30 μένα τοῖς πάλαι σοφοῖς καθ᾽ ἡμῶν καὶ ἐν οἷς ποιήμασι διαβεβλήμεθα ὡς ἄπιστοι, ταῦτα σχολάσει καὶ λῆρος εἶναι νομισθήσεται, ἵν᾽ ᾖ τὸ λήξουσιν ἀντὶ τοῦ παύσονται καὶ ἀφανισθήσονται. **424** | B οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ: οὐ καθ᾽ ἡμετέραν, φησί, γνώμην οὐδὲ ὡς ἡμῖν, ταῖς γυναιξίν, ἀρέσκει, ἐδωρήσατο τοῖς ἀνδράσιν ἐξ ἀρχῆς ὁ Ἀπόλλων τὸ δύνα- 35 σθαι λέγειν. ἔδει γὰρ καὶ τῇ γυναικείᾳ φύσει τοῦτο δεδωρῆσθαι, καὶ τάχα ἂν πολλαὶ ποιήτριαι γενόμεναι ἑαυτὰς μὲν ὑμνήσαμεν, τοὺς ἄνδρας δὲ ἐψέγομεν. ἢ τὸ ἐν ἡμετέρᾳ γνώμῃ ἀντὶ τοῦ· τῇ γυναικείᾳ φύσει οὐ δέδωκεν ὁ Ἀπόλλων, ἤτοι ἡμῖν ταῖς γυναιξίν, τὸ δύνασθαι λέγειν. τὸ αὐτὸ δὲ δηλοῦται. | B ἄλλως: οὐ γὰρ ἐν ἡμετέρᾳ γνώμῃ τὴν τῆς λύρας 40 θέσπιν ἀοιδὴν ἐδωρήσατο ὁ Ἀπόλλων, οἷον· οὐ δυναταί ἐσμεν ἡμεῖς αἱ γυναῖκες ποιήματα γράφειν, ἐπεὶ τάχα ἂν αἱ γυναῖκες ἀντεκωμῴδουν τοὺς ἄνδρας, τὴν δὲ ἑαυτῶν φύσιν ἐπῄνουν, κατὰ τὸν τοῦ λέοντος μῦθον [Aesop. 63]. λέων γὰρ ἰδὼν λέοντα ὑπὸ ἀνδρὸς ἀγχόμενον ἐν γραφῇ, εἶπεν· καὶ ἡμεῖς εἰ ᾔδειμεν γράφειν ἢ πλάσσειν, ἔμπαλιν ἂν οἱ ἄνθρωποι ἐτίθεντο ἀγχόμενοι 45 ὑπὸ τῶν λεόντων. | B i παρὰ τὸν τοῦ λέοντος μῦθον. θείαν καὶ θαυμαστήν. περιφραστικῶς τὴν ἀοιδήν, παρόσον ἴσως κἂν ἐν λύρᾳ ἐλέγετο μέλη ὄντα.

---

1 *l* om B **1** θέλει — **2** ἄνδρες om V **2** s cf. Zenob. 2, 56 Hesych. Suid. s. u. **2** s παροιμία δὲ τοῦτο B **3** τὰ ἐναντία V **6** φησὶν B : δὲ V σύνταξισ V **7** ἔνδοξοι post δὲ V **8** καὶ πισταί om V βεβαίωσ V : em Schw. : βεβαιωτικῶς Reitz. : βεβαίως (ὅτι deleto) Wil. **9** ante hoc *l* alterum ἀνδράσι μὲν δόλιαι habet V **11** ss μετ. δὲ αἱ φ. εἰσ τὸ τὴν — εὔκλειαν V **13** εὔκλειαν ἔχειν B i **13** τὸ — **14** μόνην om B i **15** ἀπέστραπται V **16** οὐδὲν ὡσ B : em Schw. ἀναστρέφεται B : em Schw. **22** λέγεται B : em Wil. ἀνέστραπται B **24** s cf. Tim. lex. Plat. s. u. ὑμνοῦσι **25** s παλαιγενεῖσ B : em Schw. **47** κἂν Wil. : καὶ B i

ABV
LP

Φοῖβος, ἁγήτωρ μελέων· ἐπεὶ ἀντάχησ᾽ ἂν ὕμνον
ἀρσένων γέννᾳ· μακρὸς δ᾽ αἰὼν ἔχει
πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν. 430
σὺ δ᾽ ἐκ μὲν οἴκων πατρίων ἔπλευσας στρ.
μαινομένᾳ κραδίᾳ, διδύμους ὁρίσασα πόντου
πέτρας· ἐπὶ δὲ ξένᾳ
ναίεις χθονί, τᾶς ἀνάνδρου 435
κοίτας ὀλέσασα λέκτρον,
τάλαινα, φυγὰς δὲ χώρας
ἄτιμος ἐλαύνῃ.
βέβακε δ᾽ ὅρκων χάρις, οὐδ᾽ ἔτ᾽ αἰδὼς ἀντ.
Ἑλλάδι τᾷ μεγάλᾳ μένει, αἰθερία δ᾽ ἀνέπτα. 440
σοὶ δ᾽ οὔτε πατρὸς δόμοι,
δύστανε, μεθορμίσασθαι
μόχθων πάρα, τῶν τε λέκτρων
ἄλλα βασίλεια κρείσσων
δόμοισιν ἐπέστα. 445

ΙΑ. οὐ νῦν κατεῖδον πρῶτον ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.
σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν
κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
λόγων ματαίων οὕνεκ᾽ ἐκπεσῇ χθονός. 450
κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύσῃ ποτὲ
λέγουσ᾽ Ἰάσων ὡς κάκιστός ἐστ᾽ ἀνήρ·
ἃ δ᾽ εἰς τυράννους ἐστί σοι λελεγμένα,
πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.
κἀγὼ μὲν αἰεὶ βασιλέων θυμουμένων 455
ὀργὰς ἀφῄρουν καί σ᾽ ἐβουλόμην μένειν·
σὺ δ᾽ οὐκ ἀνίεις μωρίας, λέγουσ᾽ ἀεὶ
κακῶς τυράννους· τοιγὰρ ἐκπεσῇ χθονός.
ὅμως δὲ κἀκ τῶνδ᾽ οὐκ ἀπειρηκὼς φίλοις
ἥκω, τὸ σὸν δὲ προσκοπούμενος, γύναι, 460

426 ἀγήτωρ VP ἀντάχησαν sim ll.: interpret. est Scaliger (cf. Σ)
427 ὕμνοισ V: γρ. ὕμνον B[3] sscr.: ὕμνον sscr. οι B[2]: ὕμνοι Eustath. Il.

p. 634 **429** γρ. γέννα A[1] ὁ μακρὸσ AB **431** πατρώων ll.: em Aldina **433** διδύμασ AVP **434** ξείνᾳ ll.: em Aldina **438** ἐλαύνει ll. **439** οὐδέ τ᾽ ll. praeter L[1] **440** μίμνει ALP **443** παρα A: παρὰ L τῶνδε ll.: em Elmsley: σῶν τε Porson **444** ἀλλὰ ll.: em Heath **445** δόμοισ ll. praeter ABL[1] ἐπέστη AB: ἀνέστη V: ἐπανέστη Nauck **448** τήνδε γῆν A **450** ἐκπεσεῖν A: ἐκπεσεῖ L[1] **451** μὴ οὐ Sauppe **452** Ἰάσον᾽ Elmsley **454** φυγὴν A **455** αἰεὶ L **459** φίλος Lacon **460** τὸ σόν γε P

Schol. **426** | B ἐπεὶ ἀντάχησαν: ταῦτα εἰς τὰ Ἡσιόδου καὶ Ὁμήρου [opp. 375] ʽὃς δὲ γυναικὶ πέποιθε᾽ καὶ [λ 456] ʽἐπεὶ οὐκέτι πιστὰ γυναιξί᾽. συμβήσεται δὲ ⟨ἐν⟩ τῷ μετὰ ταῦτα πολλῷ χρόνῳ τάς τε γυναῖκας κατειπεῖν τῶν ἀνδρῶν καὶ τοὺς ἄνδρας κατὰ τῶν γυναικῶν, καὶ οὐκέτι μόναι γυναῖκες βλασφημηθήσονται. ἢ οὕτως· οἱ ὕμνοι τῶν μελῶν ἀντήχησαν (5) ἂν πρὸς τοὺς ἄνδρας, ἀντεκωμῴδησάν τε καὶ ἀντιδιέβαλον ἄν, εἰ ὁ Ἀπόλλων ἐδωρήσατο ταῖς γυναιξὶ τὸ ⟨δύνασθαι⟩ λέγειν. **430** | B τὴν ἡμῶν μοῖραν καὶ τῶν ἀνδρῶν. μοῖραν δέ, τὴν μερίδα. ἀντὶ τοῦ· συμβαίνει κατ᾽ ἀλλήλων εἰπεῖν ἄνδρας καὶ γυναῖκας ⟨ἐν⟩ τῷ χρόνῳ. **432** | Bg ὑπὸ τοῦ ἔρωτος. **433** | B ἀντὶ τοῦ· διαστείλασα καὶ διεξελθοῦσα τὰς (10) Συμπληγάδας. ἤτοι διαπλεύσασα καὶ διελθοῦσα, παρόσον δύο τινῶν ὑποκειμένων ὁ διὰ μέσου γινόμενος ἑκάτερον ὁρίζει. καὶ Ἡρόδοτος ʽδείξειεν δεξιὰ μὲν ὁρίζων᾽. ἀεὶ γὰρ ὁ μέσος τινῶν γινόμενος διορίζει τὸν μὲν ἔνθεν, τὸν δὲ ἔνθεν. **439** | Bg ἀπόλωλε. | B παρὰ τὰ Ἡσιόδου [opp. 198] ʽλευκοῖσιν φαρέεσσι καλυψαμένα Αἰδὼς καὶ Νέμεσις᾽. **441** | Bg λείπει (15) τὸ πάρεισιν. **444** | Bg ἡ Γλαύκη. **445** | Bi ἐπῆλθε τῷ ἀνδρί. οἴκου γὰρ σύστασις ὁ ἀνήρ. **447** | Bi σκληρὰν τὴν σὴν ὀργήν. | Bg ἄμαχον. **449** | Bg ἀνεμπαθῶς εὐχερῶς. | Bi ἀντὶ τοῦ κρατούντων· κρατεῖ γὰρ γυναικὸς ὁ ἀνὴρ καὶ κατὰ τοῦτο κρείττων ἐστὶν ὑποτεταγμένην ἔχων τὴν γυναῖκα. κρειττόνων οὖν, ἀντὶ τοῦ κρείττονος· (20) πληθυντικὸν ἀντὶ ἑνικοῦ, ἐπὶ αὐτοῦ τοῦ Ἰάσονος. **451** | B κἀμοὶ μέν, φησίν, οὐδὲν μέλει περὶ ὧν ἂν λέγῃς κατ᾽ ἐμοῦ· ὑπὲρ ὧν δὲ κατὰ τοῦ βασιλέως τετόλμηκας εἰπεῖν, ἀγάπα φυγῇ ζημιουμένη καὶ μὴ μείζονι κακῷ περιπίπτουσα. οἷον· ἐπικερδὲς ἡγοῦ τὸ φυγῇ ζημιοῦσθαι μόνον καὶ μὴ μείζονι περιπεσεῖν αἰκίᾳ διὰ τὰ εἰς τοὺς τυράννους εἰρημένα σοι δύσφημα. (25) **453** | Bi λείπει ἡ διά. **459** | B ὅμως δέ, καίπερ σοῦ βλασφημησάσης με καὶ κακῶς διαθεμένης τὰ κατὰ σὲ καὶ μελλούσης ἐκβάλλεσθαι τῆς πόλεως, οὐχ ὑπερηφανῶ, ἀλλ᾽ ἦλθον πρὸς σέ, οὐ παντελῶς ἀπεγνωκὼς τὴν πρὸς σὲ φιλίαν. | Bi οὐκ ἀπαρνούμενος τοὺς φίλους.

---

3 ⟨ ⟩ Schw. **7** ⟨ ⟩ Wil. **9** ⟨ ⟩ Schw. **12**s locus corruptus uidetur esse **15** καλυψαμένη B **23** φυγὴν B

ABV LP

ὡς μήτ᾽ ἀχρήμων σὺν τέκνοισιν ἐκπέσῃς
μήτ᾽ ἐνδεής του. πόλλ᾽ ἐφέλκεται φυγὴ
κακὰ ξὺν αὑτῇ. καὶ γὰρ εἰ σύ με στυγεῖς,
οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτε.

ΜΗ. ὦ παγκάκιστε, τοῦτο γάρ σ᾽ εἰπεῖν ἔχω 465
γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακόν,
ἦλθες πρὸς ἡμᾶς, ἦλθες ἔχθιστος γεγώς;
[[θεοῖς τε κἀμοὶ παντί τ᾽ ἀνθρώπων γένει;]]
οὔτοι θράσος τόδ᾽ ἐστὶν οὐδ᾽ εὐτολμία,
φίλους κακῶς δράσαντ᾽ ἐναντίον βλέπειν, 470
ἀλλ᾽ ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει᾽· εὖ δ᾽ ἐποίησας μολών,
ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
ψυχὴν κακῶς σε καὶ σὺ λυπήσῃ κλύων.
ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν. 475
ἔσωσά σ᾽, ὡς ἴσασιν Ἑλλήνων ὅσοι
ταὐτὸν συνεισέβησαν Ἀργῷον σκάφος,
πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
ζεύγλαισι καὶ σπεροῦντα θανάσιμον γύην·
δράκοντά θ᾽, ὃς πάγχρυσον ἀμπέχων δέρας 480
σπείραις ἔσῳζε πολυπλόκοις ἄυπνος ὤν,
κτείνασ᾽ ἀνέσχον σοὶ φάος σωτήριον.
αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ᾽ ἐμοὺς
τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
σὺν σοί, πρόθυμος μᾶλλον ἢ σοφωτέρα· 485
Πελίαν τ᾽ ἀπέκτειν᾽, ὥσπερ ἄλγιστον θανεῖν,

---

462 s πόλλ᾽—αὑτῇ spuria iudicat Kirchhoff **463** αὐτὴ L: αὑτῇ rell. **464** σοὶ: σὺν Patakis **466** del Prinz: exh. Σ ἀναίδειαν Wyttenbach **468** e u. 1324 huc retractum uidit Brunck **469** οὔτι LP cum Herodian. περὶ ἀκυρολ. Boisson. anecd. 3 p. 268 **470** ἔναντα προσβλέπειν Wecklein βλέπειν; A **471** καλλίστη A **475** τῶνδε VL **476** cf. Plat. ἑορτ. 30 Eubul. 26 **479** ζεύγλῃσι LP: ζεύγν[...]αισι A **480** δ᾽ VP ἀμφέπων Aldina δέρος LV^3 sscr. **484** πηλιώτην V

SCHOL. **461** | Bg πένης. **462** | Bg τινός. | Bi ἐπάγεται ἐπισύρεται. **465** | B ὦ παγκάκιστε: τοῦτο γὰρ εἰπεῖν ἔχω σοι γλώσσῃ μέγιστον κακὸν διὰ τὴν ἀσθένειαν τὴν ἐμήν· γυνὴ γάρ εἰμι καὶ ἀσθενής, μὴ δυναμένη χερσὶν ἐπιτιμωρήσασθαι. διὸ τῇ διὰ τοῦ στόματος κατηγορίᾳ κολάζω σε. ἡ εἰς ἀντὶ τῆς διά, δι' ἀνανδρίαν. τοῦτο δέ 5 φησιν ὡς μὴ δυνηθέντος αὐτοῦ χωρὶς αὐτῆς ἀνύσαι τὸν ἆθλον. οὗτος γάρ, ὁ Ἰάσων, ἀποσταλεὶς παρὰ τοῦ ⟨Πελίου⟩ ἀνείλετο τὸ χρυσοῦν δέρας ἀπὸ τῶν Κόλχων διὰ φαρμάκων τινῶν τῆς Μηδείας, ἐρασθείσης αὐτοῦ. **466** | B ἤτοι ὡς θυμουμένη ἄνανδρον αὐτὸν ἀποκαλεῖ· τῶν γὰρ λοιδορουμένων οἰκεῖον καὶ τὰ μὴ προσόντα πολλάκις προφέρειν. ὀνειδίζει δὲ αὐτῷ 10 ἀσθένειαν ὡς μὴ δυνηθέντι ἄνευ αὐτῆς ἀνύσαι τοὺς ἄθλους. **469** | B οὐ θράσος ἐστὶ κακῶς φίλους δράσαντα ἐναντίον βλέπειν ἀλλὰ μᾶλλον ἀναίδεια. τινὲς δὲ ἐπιλαμβάνονται Εὐριπίδου, ὡς κακῶς εἰρηκότος· τὸ γὰρ θράσος ἔδει μᾶλλον εἰπεῖν θάρσος. διαφέρει γὰρ ὡς ἀρετὴ κακίας· τὸ μὲν γὰρ ἐπὶ κακοῦ καὶ ῥιψοκινδύνου τάσσεται, τὸ δὲ ἐπὶ ἀγαθοῦ. ὅθεν οἱ παλαιοὶ 15 αὐτὸ διώρισαν οὕτως, ὅτι θάρσος μὲν τὸ τῆς ψυχῆς παράστημα μετὰ λογισμοῦ, θράσος δὲ ἡ ἀλόγιστος ὁρμή. **473** | Bi τὸ ἑξῆς· λέξασα κακῶς σε κουφισθήσομαι τὴν ψυχὴν καὶ σὺ ἐπακούων λυπηθήσῃ· 'οἶδε γάρ', φησί τις σοφός, 'καὶ νεφέλη τὸν ὄμβρον ἀποβαλοῦσα κουφίζεσθαι καὶ ψυχὴ τὰ ἑαυτῆς ἐξηγουμένη κακὰ ἐλαφρύνεσθαι'. **475** | B ἐκ τῶν δὲ πρώ- 20 των: ἀπὸ τῶν πρώτων δὲ εὐεργεσιῶν προκατάρξομαι νυνί. πρῶται δὲ εὐεργεσίαι αἱ ἐπὶ Σκυθίᾳ, ὅτε ὁ Ἰάσων παρὰ τοῦ Αἰήτου ἐκτελέσαι τοῦτον τὸν ἆθλον κελευσθείς, τὸ σιδηραῖς ζεύγλαις τοὺς πυριπνόους ζεῦξαι βόας καὶ σπεῖραι τοὺς δρακοντείους ὀδόντας, δι' αὐτῆς τοῦτο ἐξετέλεσεν. **476** | B ἔσωσά σ' ὡς ἴσασιν: πλεονάζει ὁ στίχος τῷ σ̄. ὅθεν καὶ 25 Πλάτων ἐν ταῖς Ἑορταῖς φησιν [frg. 30]· 'ἔσωσας ἐκ τῶν σῖγμα τῶν Εὐριπίδου'. καὶ Εὔβουλος ἐν Διονυσίῳ [frg. 26]· 'Εὐριπίδου δ' "ἔσωσά σ', ὡς ἴσασι⟨ν Ἑλλήνων ὅ⟩σοι" καὶ "παρθένε εἰ σ⟨ώσαιμι σ'⟩ ἕξεις μοι χάριν" καὶ τοῖς ἐμοῖσιν ἐγγελῶσι πήμασι τὰ σῖγμα συλλέξαντες, ὡς αὐτοὶ σοφοί'. **482** | Bg ἀνέτειλά σοι. **484** | Bi Θεσσαλικήν. Ἰωλκὸς δὲ πατρὶς 30 Ἰάσονος. | V man. recentiss. Ἰωλκὸς ὄνομα χώρας. εἶπε δὲ Πηλιῶτιν πρὸς ἀντιδιαστολὴν τῆς ἑτέρας Ἰω⟨λκοῦ⟩ τῆς κατὰ τὴν Λάμψακον. **485** | B ἀντὶ τοῦ· ἔρωτι μᾶλλον τῷ πρὸς σὲ νικωμένη ἢ μετὰ λογισμοῦ τι πράττουσα.

---

7 Πελίου om B **8** μηδείας ὡσ B **10** προσφέρειν B **13** ss cf. etym. Gud. p. 255, 27 Herod. de impr. dict. p. 318, 9 Nauck **17** ὁρμή Wil.: τόλμη B **25** τὸ B **26** σιγμάτων B: explic. Porson **27** δ' deleuerit Schw., qui Εὐριπίδου ad ea quae praecedebant rettulerit **28** ⟨ ⟩ ⟨ ⟩ Schw. παρνεύεισ sscr. θ B Eurip. Andromedae frg. (129) agnouit Markland **29** ἀγγελοῦσι B: em Porson δράμασι ci Wil., Dionysium ipsum loqui ratus: παίγμασι ci Schw.

ABV LP

παίδων ὑπ᾽ αὐτοῦ, πάντα δ᾽ ἐξεῖλον φόβον.
καὶ ταῦθ᾽ ὑφ᾽ ἡμῶν, ὦ κάκιστ᾽ ἀνδρῶν, παθὼν
προύδωκας ἡμᾶς, καινὰ δ᾽ ἐκτήσω λέχη,
παίδων γεγώτων· εἰ γὰρ ἦσθ᾽ ἄπαις ἔτι, 490
συγγνώστ᾽ ἂν ἦν σοι τοῦδ᾽ ἐρασθῆναι λέχους.
ὅρκων δὲ φρούδη πίστις, οὐδ᾽ ἔχω μαθεῖν
εἰ θεοὺς νομίζεις τοὺς τότ᾽ οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμι᾽ ἀνθρώποις τὰ νῦν,
ἐπεὶ σύνοισθά γ᾽ εἰς ἔμ᾽ οὐκ εὔορκος ὤν. 495
φεῦ δεξιὰ χεὶρ ἧς σὺ πόλλ᾽ ἐλαμβάνου,
καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρώσμεθα
κακοῦ πρὸς ἀνδρός, ἐλπίδων δ᾽ ἡμάρτομεν.
ἄγ᾽, ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι,
δοκοῦσα μὲν τί πρός γε σοῦ πράξειν καλῶς; 500
ὅμως δ᾽· ἐρωτηθεὶς γὰρ αἰσχίων φανῇ —
νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
οὓς σοὶ προδοῦσα καὶ πάτραν ἀφικόμην;
ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ᾽ ἂν οὖν
δέξαιντό μ᾽ οἴκοις ὧν πατέρα κατέκτανον. 505
ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις

ABVL P(Π[3])

ἐχθρὰ καθέστηχ᾽, οὓς δέ μ᾽ οὐκ ἐχρῆν κακῶς

ABV LP

δρᾶν, σοὶ χάριν φέρουσα πολεμίους ἔχω.
τοιγάρ με πολλαῖς μακαρίαν ἀν᾽ Ἑλλάδα
ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε 510
ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν᾽ ἐγώ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,

ABVL P(Π[3])

φίλων ἔρημος, σὺν τέκνοις μόνη μόνοις,
καλόν γ᾽ ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
πτωχοὺς ἀλᾶσθαι παῖδας ἥ τ᾽ ἔσωσά σε. 515
ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ᾖ
τεκμήρι᾽ ἀνθρώποισιν ὤπασας σαφῆ,

ABV LP

ἀνδρῶν δ᾽ ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

ΧΟ. δεινή τις ὀργὴ καὶ δυσίατος πέλει, 520
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

487 ὑφ' αὑτοῦ Elmsley τ' LPΣ δόμον LP: B¹ im (cf. Σ) 489 τ' Wecklein 491 συγγνώστ' ἄν σοι P¹: συγγνωστὸν ἦν σοι AVB 493 εἰ Reiske: ἦ V¹: ἢ rell. νομίζω schol. Aeschin. p. 350 Sch. 494 θέσμ(ι)' ἐν VB 498 ἐλπίδοσ δ' A 500 cf. Σ 501 δ' om AV 503 καὶ: σὴν Weil 504 τ' AV τὰ νῦν B: γὰρ ἂν Wecklein 505 πατέρ' ἀπέκτανον A 507 οἷσ A 509 ἀν' ἑλλάδα B: ἑλλάδα Herod. ap. Walz. 8, 590: καθ' ἑλλάδα AV¹: ἑλληνίδων LP: V³ (sscr.) cum Alexandr. de schem. ap. Walz. 8, 451 511 καὶ πιστὸν: καὶ σεμνὸν Alexander l. c.: κ σεπτὸν Nauck: κἄπιστον '*incredibilem*' Verrall 512 ἦ Elmsley γε Haun. et cod. Haun. Herod. l. c.: τε AVB: δὲ LP: δὴ Hartung 513 φίλων: δόμων Herodian. μόνοις μόνη Herod. u. l. μενοις Π³ 514 τῷ . . . νυμφίῳ B: τῶν . . . νυμφίων AV¹: L (?) ι bis sscr. V²: τῶν . . . νυμφίω‸P 516 ἦν Clem. strom. 6, 265 Stob. 2, 16: probat Hartung 518 χρῆν L¹A¹

Schol. **487** | B πάντα δ' ἐξεῖλον: ἀντὶ τοῦ ἐπόρθησα. ἐὰν δὲ φόβον γράφηται, ἐξεῖλον ἀντὶ τοῦ διέφθειρα καὶ ἠφάνισα. | Bi γράφεται δόμον. **494** | Bg νόμιμα. **496** | Bi παρακαλῶν δηλονότι. **497** | Bi παρεκλήθημεν καταχρωσθέντες καὶ σχεθέντες. οἱ γὰρ ἱκετεύοντες τῶν γονάτων ἐφάπτονται. **500** | Bi γράφεται δοκοῦσα 5 μή τι πρός. | B ἀντὶ τοῦ· οὐδὲν προσδοκῶσα παρὰ σοῦ πράξειν καλῶς. ταῦτα δὲ ἐν ἤθει προενεκτέον· φέρε, φησίν, ὡς φίλῳ σοι διαλεχθῶ, καίτοι προσδοκῶσα τί πράξειν καλόν; καὶ διαλεγομένη ὡς οὐδὲν ὠφελήσοντί με, ὅμως ἐρωτήσω. οὕτω γὰρ ἂν πικροτέρως ἐλεγχθείης οὐδὲν ἔχων πρὸς ἔπος ἀποκρίνασθαι. διαστῆσαι δὲ δεῖ κατὰ ἀνάγνωσιν τὸ τί, ἐκ 10 δὲ τῆς ὑποκρίσεως ἐμφαίνειν τὸ οὐδέν [[τι]]. παθητικὴν δὲ ὑπόκρισιν δηλοῖ τὸ τί· καίτοι γε τί δοκοῦσα πράξειν παρὰ σοῦ. **504** | Bi τὰς τοῦ Πελίου θυγατέρας. **506** | Bi τοῖς συγγενέσι, τῷ πατρὶ καὶ τῇ μητρί. **514** | Bi κλέος δόξα ἔπαινος. **515** | Bi καὶ ἐμὲ ἀλᾶσθαι ἥτις ἔσωσά σε. **516** | Bi ἀδόκιμος φαῦλος. **517** | Bi σημεῖα γάρ 15 ἐστι τοῦ καλοῦ καὶ τοῦ κακοῦ χρυσοῦ. **518** | Bi ὁ χρυσὸς δοκιμάζεται πυρὶ καὶ λίθῳ, τοῖς δὲ ἀνθρώποις οὐδὲν σημεῖον ἐνυπάρχει, ὅθεν ἐπιγνωσθῆναι δύνανται. | Bg διαγνῶναι. **520** | B δεινή τις ὀργή: ἡ διστιχία τοῦ χοροῦ ἐστι. κατὰ δὲ τούτους ⟨τοὺς χρόνους⟩ ἤδη τὰ τῶν χορῶν ἠμαύρωτο. τὰ μὲν γὰρ ἀρχαῖα ⟨δράματα⟩ διὰ τῶν χορῶν ἐπετελεῖτο. 20 ὅθεν καὶ Εὔπολίς φησι [frg. 363]· 'τί χορὸς οὗτος κλαίειν εἴπωμεν πυρανῖ̓ * * ἵν' ᾖ κατ' αὐτὰ ἰαμβεῖα δύο.

7 προσενεκτέον B 8 ὡς Wil.: καὶ B 11 ἐμφαίνει B: em Schw. [[ ]] Schw. 19 δυστυχία B: em Elmsley 20 ἠμαύρωτε B: em G. Hermann 21 πυρανῖ (δ sscr.) B¹ α ex ω corr. lac. statuit Schw. 22 καθ' αὐτὰ Wil. ἰαμβία δύοι κρασπέδοισ B

ABV LP

ΙΑ. δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
ἀλλ' ὥστε ναὸς κεδνὸν οἰακοστρόφον
ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν. 525
ἐγὼ δ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
σοὶ δ' ἔστι μὲν νοῦς λεπτός, ἀλλ' ἐπίφθονος
λόγος διελθεῖν, ὡς Ἔρως σ' ἠνάγκασε 530
τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας.
ἀλλ' οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν·
ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
εἴληφας ἢ δέδωκας, ὡς ἐγὼ φράσω. 535
πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
γαῖαν κατοικεῖς καὶ δίκην ἐπίστασαι
νόμοις τε χρῆσθαι μὴ πρὸς ἰσχύος θράσει·

523 νηὸσ LP: sscr. V^1 **526** ἐπεὶ σὴν Nauck **527** s σωτηρίας ναύκληρον Nauck. cf. Σ **531** πόνων ἀφύκτων L^1PΣ: V^3 (sscr.): τόνοις ἀφύκτοις Verrall: τόνῳ σ' ἀφύκτῳ (σ' 530 omisso) Murray **532** αὐτὰ LP **533** οὖν om AP^1 **534** τῇδ' ἐμῇ σωτηρίᾳ Prinz: ταῖς ἐμαῖς σωτηρίαις ci Murray **537** καὶ ll.: ἢ Usener ἐπίσταται Usener **538** μηκέτ' Herwerden θράσει Σ u. l.: χάριν ll.: κράτος Blaydes

---

Schol. **522** | B^i ἀντὶ τοῦ· ⟨οὐκ⟩ ἀσθενῆ πρὸς τὸ λέγειν, ἀλλ' ἐκ τῶν ἐναντίων ῥήτορα καὶ δεινὸν εἰπεῖν. **523** | B^g συνετόν. | B^g κυβερνήτην. **524** | B περιφραστικῶς εἶπεν ἀντὶ τοῦ παντὶ ἀρμένῳ. ὑπεκδραμεῖν δέ, ἤγουν δεῖ με ὑπεκδραμεῖν τὴν σὴν γλωσσαλγίαν, καθάπερ κυβερνήτης τοῖς κρασπέδοις τοῦ λαίφους χρώμενος ἐκφεύγει. | B^i κράσπεδα 5 καταχρηστικῶς τὰ ἄνω τέλη τοῦ ἀρμένου. ἄκροις οὖν κρασπέδοις, τοῖς ἀνωτάτω μέρεσι. **526** | B^i ἀντὶ τοῦ αὔξεις καὶ μεγαλύνεις. χάριν δέ, λέγει τὸ προσεσωκέναι αὐτὸν πανταχοῦ. **527** | B Κύπριν νομίζω: ἐγὼ νομίζω, φησίν, ὑπὸ τῆς Ἀφροδίτης σεσῶσθαι, ἣν μόνην φησὶ μᾶλλον ἀνθρώπων καὶ θεῶν ἰσχύειν πλέον· τοῦτο γὰρ λείπει. μόνην 10 φησὶ τὴν Ἀφροδίτην σεσωκέναι αὐτὸν καὶ οὐδένα ἀνθρώπων οὐδὲ θεῶν. τοῦτο δὲ ψεῦδος· φαίνεται γὰρ τὴν Ἥραν προστάτιν ἐσχηκὼς ἐξ ἀρχῆς

διόλου καὶ ὑπὸ ταύτης παρορμηθεὶς εἰς τὸν ἆθλον, ὑφ' ἧς εἰκὸς αὐτὸν σεσῶσθαι ἵνα τὸν Πελίαν φονεύσῃ ἐχθρὸν ὄντα τῆς Ἥρας. ἔτι δὲ καὶ ἡ Ἀθηνᾶ κινδυνεύουσαν τὴν ναῦν προσραγῆναι ταῖς πέτραις ἀνεσώσατο. | 15
B[i] ναυκληρίας δέ, ἤγουν ἀποδημίας καὶ πλοῦ. **530** | B λόγος διελθεῖν: ἀντὶ τοῦ παρελθεῖν καὶ εἰπεῖν. ἐπίφθονος δέ, ὑπὸ φθόνου κατεχόμενος ὁ λόγος οὗτος, λέγω δὲ ⟨τὸ⟩ τὸν ἔρωτα σεσωκέναι με. ἐρασθεῖσα γὰρ αὐτοῦ ἡ Μήδεια ἔσωσεν αὐτόν. δύναται δὲ καὶ οὕτως νοηθῆναι· ἀλλ' ἐπίφθονος ὁ λόγος ῥηθῆναι, τουτέστι κινεῖ μοι φθόνον ὁ 20
λόγος. ἀλαζονεύσομαι, φησίν, ὑπὲρ ἐμαυτοῦ ὅτι ὁ ἔρως ὃν ἠράσθης μου σέσωκέν με. | B ἄλλως: ἐμοὶ λόγος, φησί, λεπτὸς μέν, ἐπίφθονος δέ, τουτέστι· φθονηθησόμενος μέν, δυνάμενος δὲ διαδῦναι παντὸς τοῦ ἰσχνοῦ. ἐὰν γάρ τις ἀκριβῶς ἐξετάζῃ, ὁ ἔρως σε ἠνάγκασε τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας. οἷον· οὐκ εἰς χάριν τὴν ἐμήν, ἀλλὰ κατὰ 25
ἀνάγκην ταῦτα ἔπραξας καὶ τῶν ἀφύκτων πόνων ἐξέσωσας τὸ ἐμὸν σῶμα. ἢ οὕτως· καὶ σὺ μέν, φησί, συνορᾷς, ἅτε δὴ λεπτὸν καὶ ὀξὺν ἔχουσα τὸν νοῦν, ὅτι ἡ Ἀφροδίτη με ἔσωσεν, ἀλλ' ὑπὸ φθόνου ὁ λόγος σοι οὐ προφέρεται, ὅς ἐστιν ἀληθής, τὸ σὲ διὰ τὸν ἔρωτά με σεσωκέναι. **532** | B ἀλλ' οὐκ ἀκριβῶς: οἷον· οὐκ ἀκριβολογοῦμαι περὶ τούτου, ἀλλὰ δίδωμί σοι 30
τῷ λόγῳ ὠφεληκέναι. κἀγὼ μὲν ὁμολογῶ ὅτι ἔνθα με ὠφέλησας, καλῶς ἔχει. **533** | B ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει: ἔνθα γάρ, φησίν, ὠφέλησας, οὐ κακῶς ἔχει. ἢ οὕτως· οὐκ ὠφέλησας· ὅθεν μεθίημι τὰς ἀποδείξεις τοῦ μηδὲν ὠφελῆσθαι παρὰ σοῦ, τοῦ πράγματος [[οὐ]] καλῶς ἔχοντος. **538** | B νόμοις τε χρῆσθαι: ἐπι- 35
λαμβάνονται τοῦ ἐπιχειρήματος· ἔδει γὰρ αὐτὸν ταῦτα λέγοντα μηδὲν ποιεῖν ἄδικον. πρὸς γὰρ τὸν λέγοντα ὅτι νόμοις ἐπίστασαι χρῆσθαι, εἴποι ἄν τις εἰκότως· ἀλλὰ σὺ οὐκ ἐπίστασαι νόμοις χρῆσθαι, ἀλλὰ καὶ τοὺς ὅρκους παραβέβηκας καὶ τὰς δεξιὰς καὶ τὰ τέκνα καὶ τὴν γυναῖκα προδέδωκας, ὅπως τὴν τοῦ τυράννου θυγατέρα λάβῃς, τοῦτο δὲ ἕνεκα φιλοδοξίας. καὶ 40
γὰρ ὅτε ἔλεγεν· ἥκω, ὅπως σοι ἐπαρκέσω, καταμωκώμενος ἔλεγεν. ἥκιστα οὖν ἔδει νῦν τὰ τῶν νόμων παραλαμβάνειν μέλλοντα πρόσωπον τοιοῦτον εἰσάγειν παραβεβηκὸς τοὺς νόμους. ἢ οὕτως· μὴ βίᾳ πράττειν, ἀλλὰ νόμοις χρῆσθαι μὴ πρὸς χάριν κειμένοις, ἀλλ' ἴσοις καὶ δικαίοις, τουτέστι· μὴ τὸ κεχαρισμένον τοῖς δυνατοῖς ἔχουσιν, ἀλλὰ τὸ πᾶσι. | B ἄλλως: 45
τὸ χάριν γράφεται θράσει. ἐπιλαμβάνονται δὲ τοῦ χωρίου τούτου· εἴποι γὰρ ⟨ἄν⟩ τις· ἀλλὰ σὺ οὐκ ἐπίστασαι νόμοις χρῆσθαι ὅρκους καὶ δεξιὰς παραβαίνων. | B[i] περιπετὴς ὁ λόγος κατὰ ῥήτορας· περιπίπτει γὰρ αὐτῷ ὁ λέγων.

---

4 με Schw.: μὲν B **5** κρήσπεδα B[i] **12**s ἀρχῆς διόλου Reitz. Wil.: αὐτῆσ ὅλον B **14** ἔτι Laur. 31, 10: ἔστι B **14**s ἡ Ἀ. Laur.: ἡ Ἀ. ἢ B **18** οὕτωσ B: em Barnes ⟨ ⟩ Schw. **33** οὕτως Schw.: ὅτι B **35** [[ ]] Wil. **43** παραβεβηκὼσ B **47** ⟨ ⟩ Schw.

ABV LP

πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφὴν
καὶ δόξαν ἔσχες· εἰ δὲ γῆς ἐπ' ἐσχάτοις 540
ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις
μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.

ABVL P(Π[3])

τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι 545
ἔλεξ'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
ἃ δ' ἐς γάμους μοι βασιλικοὺς ὠνείδισας,
ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγώς,
ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος
καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ' ἔχ' ἥσυχος. 550
ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς
πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
τί τοῦδ' ἂν εὕρημ' ηὗρον εὐτυχέστερον
ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
οὐχ, ᾗ σὺ κνίζῃ, σὸν μὲν ἐχθαίρων λέχος, 555
καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
ἅλις γὰρ οἱ γεγῶτες οὐδὲ μέμφομαι·
ἀλλ' ὡς τὸ μὲν μέγιστον οἰκοῖμεν καλῶς
καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων ὅτι 560

ABV LP

πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
παῖδας δὲ θρέψαιμ' ἀξίως δόμων ἐμῶν
σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις
εἰς ταὐτὸ θείην, καὶ ξυναρτήσας γένος
εὐδαιμονοίην. σοί τε γὰρ παίδων τί δεῖ; 565
ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
τὰ ζῶντ' ὀνῆσαι. μῶν βεβούλευμαι κακῶς;
οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
ἀλλ' ἐς τοσοῦτον ἥκεθ' ὥστ' ὀρθουμένης

εὐνῆς γυναῖκες πάντ' ἔχειν νομίζετε, 570
ἢν δ' αὖ γένηται ξυμφορά τις ἐς λέχος,
τὰ λῷστα καὶ κάλλιστα πολεμιώτατα
τίθεσθε. χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος·
χοὔτως ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν. 575

ΧΟ. Ἰᾶσον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους·
ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην ἐρῶ,
δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.

542—44 spurios iudicauit Hartung **543** μέλη Wecklein **545** μέντοι ll. praeter LP **549** φίλοισ V[1] **550** ἡσύχωσ AV **551** μετέστη V[1] **552** ἀφέλκων A **553** τι τουτ' Π[3] τοῦτ' εὕρημ' V[1] εὗρον ll. ἀτυχέστερον V[1] **554** γεγὼσ φυγάσ V **555** ουχως συ Π[3] ἐχθραίνων B **560** σπανιζόμεσθα V: σπανιζοίμεθα LP: σπανίζοιμέν τι Wecklein **562** τε LP **564** συναρτήσασ LP uersum deleuerit Nauck **565** εὐδαιμονοῖμεν Elmsley **567** τά γ' ὄντ' Nauck **568** σοι A κνίζει LP **571** αὖ om A: om P[1] in lacuna συμφορά LP **573** χρὴ AV γὰρ: ἄρ' Porson **575** οὔτωσ δ' LP: οὕτως Wil. **577** λέγω LP

Schol. **540** | Bi ἐν τῇ Σκυθίᾳ, ἐν τῇ Κολχίδι λέγει. **543** | B μήτ' Ὀρφέως: οὔτε τοῦ πλούτου, φησίν, οὐδὲν ὄφελος οὔτε τῆς θειοτάτης σοφίας, εἰ μὴ καὶ διαβόητοι εἶεν καὶ ἐπισημότατοι οἱ ταῦτα κεκτημένοι, ὅτι πρὸς τὴν εὐδοξίαν ἅπαντα δεῖ πράττειν καὶ μήτε τὸν πλουτοῦντα κρύπτειν τὸν πλοῦτον μήτε τοὺς ἐλλογίμους τὴν ἀρετήν. **546** | Bi σύγκρισιν 5 φιλονεικίαν. **552** | B πολλὰς ἐφέλκων: πολλὰ γὰρ ἐφέλκεται κακὰ ⟨ἡ⟩ φυγὴ σὺν αὑτῇ. ἀμηχάνους δέ, διὰ τὸ ἐκβεβλῆσθαι τῆς πατρίδος. **554** | Bi διὰ τὸν τοῦ Πελίου φόνον εἰς Κόρινθον ἀφίκετο. **555** | B οὐχ ᾧ τρόπῳ σὺ λυπουμένη νομίζεις ὅτι τὸ μὲν σὸν μισῶν λέχος, ἐκείνης δὲ ἐρῶν ἔγημα αὐτήν. **557** | Bi οὐ σπουδάζων πλείονα τέκνα 10 ποιῆσαι. **564** | Bg ἀντὶ τοῦ· εἰς τὴν αὐτὴν αὐτοῖς τύχην προάξαιμι, ἐξ ἴσης τιμήσαιμι. | Bg συνάψας. **565** | Bi ἅπαξ ἐχούσῃ τὰ ἐξ ἐμοῦ τίς σοι χρεία ἄλλων τέκνων. **566** | Bi καὶ ἐμοί, φησί, λυσιτελεῖ τὸ διὰ τῶν μελλόντων ἐκ ταύτης ἔσεσθαί μοι παίδων ὠφελῆσαι τοὺς ἐκ σοῦ· κοινωνοὶ γὰρ ἔσονται τῆς βασιλείας. **568** | Bi βεβουλεῦσθαί με 15 κακῶς οὐδ' ἂν σὺ φαίης. **569** | B ὥστ' ὀρθουμένης: ἀντὶ τοῦ· ὑγιοῦς οὔσης, ὀρθῶς προχωρούσης. ἢ ὀρθῆς καὶ ἀμεταβλήτου οὔσης. ὑμεῖς συγκαθεύδουσαι τοῖς ἀνδράσιν εὐδαιμονίαν ἔχειν νομίζετε. **573** | Bi καὶ ἐν Ἱππολύτῳ [619] κεῖται οὗτος ὁ νοῦς.

4 δοξίαν B: em Schw.

ABV LP

ΜΗ.	ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν.	
	ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν	580
	πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·	
	γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,	
	τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.	
	ὡς καὶ σὺ μή νυν εἰς ἔμ' εὐσχήμων γένῃ	
	λέγειν τε δεινός· ἓν γὰρ ἐκτενεῖ σ' ἔπος·	585
	χρῆν σ', εἴπερ ἦσθα μὴ κακός, πείσαντά με	
	γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.	
ΙΑ.	καλῶς γ' ἄν, οἶμαι, τῷδ' ὑπηρέτεις λόγῳ,	
	εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν	
	τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.	590
ΜΗ.	οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος	
	πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.	
ΙΑ.	εὖ νῦν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα	
	γῆμαί με λέκτρα βασιλέων ἃ νῦν ἔχω,	
	ἀλλ', ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων	595
	σὲ καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους	
	φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.	
ΜΗ.	μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος	
	μηδ' ὄλβος ὅστις τὴν ἐμὴν κνίζοι φρένα.	
ΙΑ.	οἶσθ' ὡς μετεύξῃ καὶ σοφωτέρα φανῇ;	600
	τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτέ,	

582 τἄδικα δ' εὖ A 583 ἄγαν: οὕτω ci Murray (cf. 305) 584 ὧς Brunck σύ· μή Witzschel νῦν ll. 585 κτενεῖ σ' V: σε κτενεῖ B: οὖν κτενεῖ σ' P[3]. cf. Σ et Eustath. Il. p. 672 588 οἶμαι Nauck: οὖν μοι LP: οὖν σὺ AV: οὖν B ἐξυπηρετεῖσ B 594 βασιλέωσ ll.: em Elmsley 596 ὁμοσπόροισ V[1] 599 κνίζει ll. praeter BP cum Stob. 93, 5 600 μέτευξαι Elmsley. cf. Σ et Cycl. 131 601 s φαίνεσθαι et δοκεῖν ci Reiske. cf. Σ

SCHOL. **579** | B ἦ πολλὰ πολλοῖς: ὄντως δή, φησίν, ἐγὼ κατὰ πολλὰ πολλῶν διαφέρω ἀνθρώπων καὶ ἀνόμοιός εἰμι, ἐπεὶ οὐχ, ὥσπερ ἂν ἕτεροι, τοὺς ἀδίκους καὶ δεινοὺς ἐν τῷ λέγειν ἀποδέχομαι, ἀλλ' ἡγοῦμαι τοσούτῳ μᾶλλον ζημίαν μείζονα ἕξειν ὅσῳ περ τὸ δίκαιον καὶ τὸ ἀληθὲς

x cf. Triclin. ad Aesch. Ag. 937

πειρῶνται διακρούεσθαι. | Bi ἀνόμοιος ἐχθρά. **582** | B γλώσσῃ γὰρ αὐχῶν: διὰ γὰρ τῆς γλώττης τὰ ἄδικα αὐχῶν περικρύπτειν, πανουργεῖν τολμᾷ. | Bi αὐχῶν: κομπάζων θαρρῶν σεμνυνόμενος τὰ ἄδικα καλῶς περικαλύψειν. **584** | B μή νυν εἰς ἔμ' εὐσχήμων γένῃ: ἀντὶ τοῦ· συσχηματίζων τοὺς λόγους πρὸς τὸ συναρπάζειν ἐμέ. τουτέστι· κόσμιος ἐν τῷ λέγειν. τὸ δὲ μή νυν κατὰ Ἀττικοὺς ἀναπέμπεται.x 10 **585** | Bi οἷον· εἷς λόγος σε τιμωρεῖται καὶ ἑνὶ λόγῳ ἁλίσκῃ. γράφεται καὶ ἓν γὰρ ἐκτενεῖ σ' ἔπος, ἀντὶ τοῦ· καταβαλεῖ σε, ἀπὸ μεταφορᾶς τῶν πιπτόντων καὶ ἐκτεινομένων εἰς τὸ ἔδαφος ἀθλητῶν ὑπὸ τῶν ἀντιπάλων. **591** | B οὐ τοῦτό σ' εἶχεν: ἀντὶ τοῦ· οὐ ταύτην ἔχων τὴν διάνοιαν ἔγημας οὐδὲ ἵνα τοῖς ἐμοῖς παισὶ τὸ ἀνενδεὲς τῶν τροφῶν παράσχῃς καὶ 15 τῆς ἐν τῇ πόλει οἰκήσεως τὸ ἀσφαλές, ἀλλ' αἰσχυνόμενος ἐπὶ τῷ βάρβαρον ἔχειν γυναῖκα. τοῦτο δὲ ἀποδέδωκε πρὸς ἐκεῖνο, ἔνθα φησὶν ὁ Ἰάσων [559] ἀλλ' ὡς, τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς καὶ τὰ ἑξῆς. | Bi τὸ συνάψαι τοῖς ἐμοῖς τέκνοις τὰ σὰ καὶ τὸ ἐπαρκεῖν αὐτοῖς, ἀλλὰ τὸ βάρβαρόν σε ἔχειν γυναῖκα αἰσχύνην παρέσχεν. **592** | B οὐκ εὔδοξον: οἷον· 20 ἀδοξίαν ἡγοῦ τὸ μέχρι γήρως βαρβάρῳ συνοικῆσαι καὶ ἐσπούδασας Ἑλληνικοῖς γάμοις τὴν προτέραν ἁμαρτίαν καλύψαι. τουτέστιν· ἡ ἐμὴ μέχρι γήρως συμβίωσις ἀδοξίαν σοι προσετρίβετο. οἷον· αἰσχύνην ἡγήσω διὰ τέλους ἀνὴρ βαρβάρου γυναικὸς καλεῖσθαι. **596** | Bi ἀδελφούς. **597** | Bi ἀσφάλισμα τῶν οἴκων. **598** | B λυπρὸς εὐδαίμων: 25 ἀντὶ τοῦ λυπηρός, κατὰ ἔλλειψιν τοῦ η· ὡς καὶ τὸ δοῦλος δύηλος ὤν, παρὰ τὴν δύην, ὃ σημαίνει τὴν ταλαιπωρίαν. | Bi λυπηρός, κατ' ἔλλειψιν τοῦ η. μηδὲ εἴην εὐτυχὴς ἐν τῷ λυπεῖν με ἄλλον τινά. **599** | B μηδ' ὄλβος ὅστις: οὐκ ἄν, φησίν, εὐξαίμην τοιαύτην μοι εὐδαιμονίαν γενέσθαι, δι' ἧς ἂν ἕτεροι λυπηθεῖεν, καθάπερ καὶ ὁ σὸς νῦν ὄλβος τὴν ἐμὴν λυπεῖ φρένα. 30 οἷον· οὐ βούλομαι εὐδαιμονίζεσθαι λυπουμένη κατὰ ψυχήν. τοῦτο δὲ εἶπεν πρὸς τὸν Ἰάσονος λόγον ἀντιτεινομένη, παρόσον αὐτὸς ἔλεγεν ἐπὶ τῷ συμφέροντι αὐτῆς τε καὶ τῶν παίδων εἰς τὸν γάμον προεληλυθέναι τὸν τῆς Γλαύκης. **600** | B οἶσθ' ὡς μετεύξῃ: τοῦτο κατὰ ἐρώτησιν. οἶσθα, φησίν, ὥς σε ἔδει μετεύξασθαι, ἵνα δόξῃς τὴν εὐχὴν φρονίμως ποιεῖ- 35 σθαι; νῦν γὰρ εὐήθη λόγον εἴρηκας· μήτε τὰ χρηστά σοι λυπηρὰ φαίνεσθαι, μήτε τὴν εὐτυχίαν δυστυχίαν νομίζεσθαι. | B ἄλλως: οἶσθ' ὡς μετεύξῃ καὶ τοῦτο ποιήσασα σοφωτέρα φαίνῃ: ⟨τοῦτο δὲ εἰς τὸ⟩ μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος. μέμφεται οὖν αὐτῆς τὴν εὐχὴν καί, εἰ θέλεις, φησί, σοφωτέρα φανῆναι, μετάθου τὴν προτέραν εὐχὴν καὶ εὖξαι μηδέ ποτε 40 τὸ χρηστὸν λυπηρόν σοι φαίνεσθαι.

---

10 κοσμίως τὸ λ. B: em Schw. **19** διαρκεῖν Bi: em Schw. βαρβάρου Bi: em Schw. **20** παρέσχεσ Bi: em Schw. **25** ss cf. etym. magn. p. 284, 49 Gud. p. 151, 11 **36** μήτε Schw.: ὥστε B **37** μηδὲ B: em Wil. νομίζεσθε B **38** ⟨ ⟩ Schw.

ABV LP

μηδ᾽ εὐτυχοῦσα δυστυχὴς εἶναι δόκει.
ΜΗ. ὕβριζ᾽, ἐπειδὴ σοὶ μὲν ἔστ᾽ ἀποστροφή,
ἐγὼ δ᾽ ἔρημος τήνδε φευξοῦμαι χθόνα.
ΙΑ. αὐτὴ τάδ᾽ εἵλου· μηδέν᾽ ἄλλον αἰτιῶ. 605
ΜΗ. τί δρῶσα; μῶν γαμοῦσα καὶ προδοῦσά σε;
ΙΑ. ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
ΜΗ. καὶ σοῖς ἀραία γ᾽ οὖσα τυγχάνω δόμοις.
ΙΑ. ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
ἀλλ᾽ εἴ τι βούλῃ παισὶν ἢ σαυτῆς φυγῇ 610
προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
λέγ᾽· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ
ξένοις τε πέμπειν σύμβολ᾽, οἳ δράσουσί σ᾽ εὖ.
καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς, γύναι·
λήξασα δ᾽ ὀργῆς κερδανεῖς ἀμείνονα. 615
ΜΗ. οὔτ᾽ ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ᾽ ἄν,
οὔτ᾽ ἄν τι δεξαίμεσθα, μήθ᾽ ἡμῖν δίδου·
κακοῦ γὰρ ἀνδρὸς δῶρ᾽ ὄνησιν οὐκ ἔχει.
ΙΑ. ἀλλ᾽ οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
ὡς πάνθ᾽ ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω· 620
σοὶ δ᾽ οὐκ ἀρέσκει τἀγάθ᾽, ἀλλ᾽ αὐθαδίᾳ
φίλους ἀπωθῇ· τοιγὰρ ἀλγυνῇ πλέον.
ΜΗ. χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
αἱρῇ χρονίζων δωμάτων ἐξώπιος·
νύμφευ᾽· ἴσως γάρ, σὺν θεῷ δ᾽ εἰρήσεται, 625
γαμεῖς τοιοῦτον ὥστε σ᾽ ἀρνεῖσθαι γάμον.
ΧΟ. ἔρωτες ὑπὲρ μὲν ἄγαν στρ.
ἐλθόντες οὐκ εὐδοξίαν
οὐδ᾽ ἀρετὰν παρέδωκαν ἀνδράσιν· εἰ δ᾽ ἅλις ἔλθοι 630
Κύπρις, οὐκ ἄλλα θεὸς εὔχαρις οὕτως.
μήποτ᾽, ὦ δέσποιν᾽, ἐπ᾽ ἐμοὶ χρυσέων τόξων ἐφείης
ἱμέρῳ χρίσασ᾽ ἄφυκτον οἰστόν.

στέργοι δέ με σωφροσύνα, ἀντ. 635
δώρημα κάλλιστον θεῶν·

---

604 φεύξομαι D **610** τι LPV[3]: τε AV[1]B[1] σαυτῇ AL φυγῆσ L **613** δράσουσιν εὖ V: A a. corr. **617** μηδ᾽ PL[2]: probauit Wecklein δίδου: τι δῷς Wecklein **626** ὥστ᾽ ἐπαυρέσθαι uel ὥ. ἀναίνεσθαι ci Prinz: ὥς σ᾽ ἀναίνεσθαι Camper **631** οὐκ V: AB u. l. ἀλλὰ V[1] οὕτω L **632** μὴ δέ ποτ᾽ L: Σ *l* **633** ἐφίησ VL[1] cum Eustath. Il. p. 568: ει supr. η scr. L[3]: ἀφείης Joachim **635** στέγοι Wecklein

---

Schol. **603** | Bi χλεύαζε, ἀποστροφή δέ, ἀντὶ τοῦ ἀποφυγή ἀνάπαυσις. **606** | B γαμοῦσα καὶ προδοῦσα: σεσημείωται τὸ γαμοῦσα. θέλει δὲ εἰπεῖν· ἆρα τοιοῦτον ἔργον ποιοῦσα ⟨οἷον σύ⟩. οὐ γὰρ ἐφ᾽ ἑαυτῆς λέγει, ἐπεὶ εἶπεν ἂν γαμουμένη, ἀλλὰ τὸν Ἰάσονος λόγον ἐφ᾽ ἑαυτῆς μετέστρεψεν. γαμεῖ μὲν γὰρ ὁ ἀνήρ, γαμεῖται δὲ ἡ γυνή. 5 **608** | Bi ἐπικατηραμένη τοῖς σοῖς οἴκοις. **609** | B ὡς οὐ κρινοῦμαι: ἀντὶ τοῦ· ἀποκρινοῦμαι περὶ τῶν τοιούτων οὐδὲν πρὸς σέ. ἀντὶ τοῦ· οὐκ ἀκριβολογήσομαί σοι περὶ ἑκάστου σαφῶς. πολλὰ μὲν ἔχω δίκαια λέγειν πρὸς σέ, μεθίημι δὲ τούτων τὰ πολλά. **611** | Bi δαπάνην, χρημάτων εὐπορίαν. **613** | B σύμβολα: οἱ ἐπιξενούμενοί τισιν ἀστρά- 10 γαλον κατατέμνοντες θάτερον μὲν αὐτοὶ κατεῖχον μέρος, θάτερον δὲ κατελίμπανον τοῖς ὑποδεξαμένοις, ἵνα, εἰ δέοι πάλιν αὐτοὺς ἢ τοὺς ἐκείνων ἐπιξενοῦσθαι πρὸς ἀλλήλους, ἐπαγόμενοι τὸ ἡμιαστραγάλιον ἀνανεοῖντο τὴν ξενίαν. Εὔβουλος Ξούθῳ [frg. 70]· 'τί ποτ᾽ ἐστὶν ἅπαντα διαπεπρισμένα ἡμίσε᾽ ἀκριβῶς ὡσπερεὶ τὰ σύμβολα'. οὕτως Ἑλλάδιος. | Bi ἢ γράμ- 15 ματα, ἐπιστόλια. **618** | B κακοῦ γὰρ ἀνδρός: παροιμία ἐστίν· 'ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα'. μέμνηται Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ [665]. **622** | Bi λυπηθήσῃ. **623** | Bi νεωστὶ γεγαμημένης. **624** | B πορθῇ τῷ ἔρωτι. ἐξώπιος δέ, ἀντὶ τοῦ ἀφεστηκὼς αὐτῆς, ἔξω τῶν ὀφθαλμῶν τῆς κόρης ὤν. **626** | B ὥστε 20 μεταμεληθῆναί σε ἐπὶ τῷ γάμῳ. **627** | B τοῦτο ὁ χορὸς λέγει περὶ τῆς Μηδείας ὡς ἐρώσης τοῦ Ἰάσονος, εὐχόμενος μὴ τοιοῦτον σχεῖν ἔρωτα. ἐκ γὰρ τῶν τοιούτων ἐρώτων ταραχαὶ τοῖς ἀνθρώποις συμβαίνουσι. **629** | Bg σωφροσύνην. **632** | B τὸ ἑξῆς· μηδέποτε, ὦ δέσποινα, ἐκ τῶν χρυσέων τόξων ἐπ᾽ ἐμοὶ ἐφείης ἄφυκτον οἰστὸν ἱμέρῳ χρίσασα. 25 μὴ ποιήσῃς τοιοῦτον ἔρωτα ἐμπεσεῖν εἰς ἐμέ, ὦ Ἀφροδίτη, οἷον καὶ εἰς Μήδειαν. **635** | B φιλοίη δέ με ἡ σωφροσύνη.

---

3 ⟨ ⟩ Schw. 6 ἐπικαταρωμένη ci Wil. 14 ἔσθ᾽ ἁπαξάπαντα Cobet 15 ἡμίσεωσ B: em Meineke περ εἰσ B: em Meineke ἔλλα sscr. δ B 21 δια sscr. περι B

ABV LP

μηδέ ποτ' ἀμφιλόγους ὀργὰς ἀκόρεστά τε νείκη
θυμὸν ἐκπλήξασ' ἑτέροις ἐπὶ λέκτροις
προσβάλοι δεινὰ Κύπρις, ἀπτολέμους δ' εὐνὰς 640
σεβίζουσ'
ὀξύφρων κρίνοι λέχη γυναικῶν.
ὦ πατρίς, ὦ δώματα, μὴ δῆτ' ἄπολις γενοίμαν στρ.
τὸν ἀμηχανίας ἔχουσα 645
δυσπέρατον αἰῶν',
οἰκτροτάτων ἀχέων.
θανάτῳ θανάτῳ πάρος δαμείην
ἁμέραν τάνδ' ἐξανύσασα· μό-
χθων δ' οὐκ ἄλλος ὕπερθεν ἢ γᾶς πατρίας 650
στέρεσθαι.
εἴδομεν, οὐκ ἐξ ἑτέρων μῦθον ἔχω φράσασθαι· ἀντ.
σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις 655
ᾤκτισεν παθοῦσαν
δεινότατον παθέων.
ἀχάριστος ὄλοιθ' ὅτῳ πάρεστιν
μὴ φίλους τιμᾶν καθαρᾶν ἀνοί- 660
ξαντα κλῇδα φρενῶν· ἐμοὶ μὲν φίλος οὔποτ' ἔσται.

AI. Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον
κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλους.

MH. ὦ χαῖρε καὶ σύ, παῖ σοφοῦ Πανδίονος, 665
Αἰγεῦ. πόθεν γῆς τῆσδ' ἐπιστρωφᾷ πέδον;

---

640 προσβάλλοι L[1]: προσβάλοιμι AP ἀπολέμους VBL[2] **641** δ' om LP σεβίζοιμ' Badham **642** κρίνει L[1]: κρῖναι Scaliger **643** δώμα[...] L[1]: δῶμα rell.: δῶμα τ' ἐμόν L[3] **647** οἰκτρότατον Musgrave **648** alterum θανάτῳ om L **649** τάνδ' ἁμέραν L[1] ἐξανύσαι V[3], unde ἁμ. πρίν γ' ἐξ. τάνδ' Wecklein **650** δ' om B τίς ἄ. Elmsley **651** πατρώας σέβεσθαι V **654** μύθων ll.: em Nauck ἔχομεν L[3] in ras. **655** οὐ πόλις post τις LP **656** ᾤκτειρε(ν) ll.: em Musgrave: οἰκτερεῖ Wieseler **658** δεινότατον L[3]: δεινότατα rell. **659** παρέσται L[3]: παρέστη Badham **660** καθαρὰν ll.: em Badham ἀνοίξαντι LPB[2] **661** κληῖδα (-ῖ- LP) ll.: em Brunck **661 s** κἀμοὶ φίλος οὐκ ἔσται L[3] **664** φίλοις VP

SCHOL. **637** | B μηδέ ποτ' ἀμφιλόγους: μηδὲ εἰς νείκη μηδὲ εἰς ὀργὰς καὶ ἐμφιλονείκους λόγους καὶ ὀργῆς κινητικούς. **638** | B νείκη θυμόν: τὰ νείκη κατ' εὐθεῖαν πληθυντικὴν εἴρηται. | B τουτέστι τὰς μάχας, ἢ τὰς φιλονεικίας, ἀκορέστους. **639** | Bs ταράξασα. **640** | Bs προσαγάγοι. | VB ἀπτολέμους: ἐπὶ τῷ εἶναι ἀπολέμους. 5
σεβίζουσα δέ, προκρίνασα προτιμῶσα. | B ἄλλως: κρίνοι τὰ λέκτρα τῶν γυναικῶν. ἢ οὕτως· σεβίζουσα τὰς ἀπολέμους εὐνάς, ὅ ἐστι παρασκευάζουσα ἀπολέμους, ἤγουν ἀφιλονείκους. οἷον· τιμάτω δὲ ἡ Ἀφροδίτη τὰς εὐνὰς τὰς ἀπολέμους καὶ μὴ ἐάτω αὐτὰς στασιάζειν. [[ἢ]] ὀξύφρονα τὴν Ἀφροδίτην φησίν, ἐπεὶ ὀξεῖς οἱ ἔρωτες αὐτῆς καὶ ὑπόπτεροι. | 10
V ὀξύφρων: ὀξυτάτους ἔρωτας πέμπουσα εἰς τὴν διάνοιαν τῶν ἀνθρώπων. | V ἄλλως: ὀξείας καὶ μεγάλας ἐπιθυμίας ἔχουσα. **645** | Bⁱ ἀντὶ τοῦ· ἐν ἀμηχανίᾳ ζῶσα τὸν δυσπέρατον αἰῶνα, ἤτοι δυσαπάλλακτον. **649** | B τῶν μόχθων τῶν ἐν ἀνθρώποις οὐδεὶς ἄλλος μείζων ἢ τὸ στέρεσθαι τῆς πατρίδος. μόχθων δὲ λέγει τῶν συμφορῶν. Ὅμηρος ἐκ τοῦ ἐναντίου 15
[ι 34]· 'ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων'. | B ἄλλως: τοῦτο δέ, τὸ στέρεσθαι τῆς πατρίδος, ὅτι πάνδεινόν ἐστιν, αὐταῖς ὄψεσιν ὁρῶμεν ἐπὶ τῆς Μηδείας καὶ οὐκ ἐξ ἀκοῆς [[τοῦτο]] μανθάνομεν. **660** | Bⁱ μὴ ἀπὸ πάσης καρδίας καὶ καθαροῦ λογισμοῦ, τουτέστιν ἀνυπούλως. τὸ ἑξῆς· ἀχάριστος ὢν ἐκεῖνος ὄλοιτο ὅστις μὴ τιμᾷ τοὺς φίλους ἐκ ψυχῆς. 20
665 | B σοφοῦ Πανδίονος: εὐεπίφορός ἐστιν ὁ Εὐριπίδης εἰς τὸ λέγειν σοφὸς καὶ σοφὴ πρὸς μηδὲν χρήσιμον παραλαμβάνων τὸ ὄνομα. κατὰ τί γὰρ σοφὸς ὁ Πανδίων λέγεται; οὐ γὰρ δὴ ὠνόμασται τοιοῦτον αὐτοῦ ἔργον, ἀλλ' οὐδὲ πανουργίας ἐχόμενον, ὥστε διὰ τοῦτο λέγεσθαι αὐτὸν σοφόν· ἀλλ' ὥσπερ παραπληρώματι χρῆται τῇ λέξει. **666** | B Αἰγεῦ πόθεν 25
γῆς: λέγουσι τὸν Αἰγέα εἰς Τροιζῆνα ἐληλυθέναι διὰ τὸ δεδοικέναι πεζῇ ποιεῖσθαι τὴν πορείαν, Σίνιδος κατ' ἐκείνους τοὺς χώρους ἐπιπολάζοντος. Νεόφρων δὲ εἰς Κόρινθον τὸν Αἰγέα φησὶ παραγενέσθαι πρὸς Μήδειαν ἕνεκα τοῦ σαφηνισθῆναι αὐτῷ τὸν χρησμὸν ὑπ' αὐτῆς [[τῆς Μηδείας]], γράφων οὕτω [frg. 1]· 30

'καὶ γάρ τιν' αὐτὸς ἦλθον λύσιν μαθεῖν
σοῦ· Πυθίαν γὰρ ὄσσαν, ἥν ἔχρησέ μοι
Φοίβου πρόμαντις, συμβαλεῖν ἀμηχανῶ·
σοὶ δ' εἰς λόγους μολὼν ἂν ἤλπιζον μαθεῖν'.

---

4 ἢ Schw.: καὶ B: del Wil. **5** *l* om V ἐπὶ Wil.: ἐν B ἀπόλεμοσ B **6** σεβίζουσα — προτιμῶσα B: προκρίνασαν V **7** οὕτως Schw.: ὅτι B **9** [[ ]] Wil. **13** δυσπέραστον Bⁱ **17** τὸ Laur. 31, 10: αὐτὸ B **18** [[ ]] Wil. **27** χρόνουσ B: em Wil. **29** [[ ]] Nauck **32** Πυθίαν Valckenaer: πρὶν θείαν B **33**s ἀμηχάνωσ οἶδ' εἰσ λ. μολεῖν B: em Valckenaer **34** ἂν Dindorf: γ' ἂν Porson: γὰρ B

ABV LP

ΑΙ. Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
ΜΗ. τί δ' ὀμφαλὸν γῆς θεσπιῳδὸν ἐστάλης;
ΑΙ. παίδων ἐρευνῶν σπέρμ' ὅπως γένοιτό μοι.
ΜΗ. πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον; 670
ΑΙ. ἄπαιδές ἐσμεν δαίμονός τινος τύχῃ.
ΜΗ. δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
ΑΙ. οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
ΜΗ. τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
ΑΙ. σοφώτερ' ἢ κατ' ἄνδρα συμβαλεῖν ἔπη. 675
ΜΗ. θέμις μὲν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
ΑΙ. μάλιστ', ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
ΜΗ. τί δῆτ' ἔχρησε; λέξον, εἰ θέμις κλύειν.
ΑΙ. ἀσκοῦ με τὸν προύχοντα μὴ λῦσαι πόδα . . .
ΜΗ. πρὶν ἂν τί δράσῃς ἢ τίν' ἐξίκῃ χθόνα; 680
ΑΙ. πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
ΜΗ. σὺ δ' ὡς τί χρῄζων τήνδε ναυστολεῖς χθόνα;
ΑΙ. Πιτθεύς τις ἔστι γῆς ἄναξ Τροζηνίας . . .
ΜΗ. παῖς ὡς λέγουσι Πέλοπος εὐσεβέστατος.
ΑΙ. τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω. 685
ΜΗ. σοφὸς γὰρ ἀνὴρ καὶ τρίβων τὰ τοιάδε.
ΑΙ. κἀμοί γε πάντων φίλτατος δορυξένων.
ΜΗ. ἀλλ' εὐτυχοίης καὶ τύχοις ὅσων ἐρᾷς.
ΑΙ. τί γὰρ σὸν ὄμμα χρώς τε συντέτηχ' ὅδε;
ΜΗ. Αἰγεῦ, κάκιστός ἐστί μοι πάντων πόσις. 690
ΑΙ. τί φῄς; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
ΜΗ. ἀδικεῖ μ' Ἰάσων οὐδὲν ἐξ ἐμοῦ παθών.
ΑΙ. τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
ΜΗ. γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.

---

668 θεσπιωδῶν V ἐστάλης: ἱκάνεισ LP contra ΣB, unde ἱζάνεις Verrall. sed cf. Andr. 251 **676** θεμιστόν G. Hermann **683** τροιζηνίασ ll. **684** s personarum notas om AB **684** παῖσ θ' A **686** ἀνήρ ll.: em Porson **687** δὲ LP **689** χρῶσ AV **693** cf. Σ

SCHOL. **668** | B τὸ μέσον τῆς γῆς καὶ τῆς οἰκουμένης. τὸ μαντικόν. ἐστάλης δέ, ἐπεδήμησας. [666] ἐνδημεῖς. **670** δεῦρ' ἀεί: ἀντὶ τοῦ· μέχρι νῦν ἄπαις ὑπάρχεις; τὸ δὲ ἀεί ἀντὶ τοῦ ἕως τοῦ νῦν. σεσημείωται δὲ ἐπεὶ τὸ δεῦρο χρονικὸν εἶπεν. | B ἢ οὕτως· ἀντὶ τοῦ· ἕως τοῦ χρόνου τούτου ἄπαις τυγχάνεις; τὸ γὰρ ἀεί 5 Εὐριπίδης τάσσει ἀντὶ τοῦ ἕως τοῦ νῦν. δεῦρο δὲ ἐπὶ χρόνου, καὶ σεσημείωται. **671** | B^i ἐπιβουλῇ. **673** | B οὐκ ἐσμὲν εὐνῆς: πρώτην ἔσχε Μελίτην τὴν Ὅπλητος, δευτέραν Χαλκιόπην τὴν Χαλκώδοντος, τρίτην τὴν Μήδειαν. **675** | B^i ἀντὶ τοῦ· σοφὰ ὑπερβαίνοντα καὶ ἄνδρας εἰς τὸ γνῶναι, τὸ δὲ θέμις κατὰ ἐρώτησιν. 10 περισσῶς δὲ ὁ μέν. **677** | B ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός: σοφωτέρας διανοίας χρείαν ἔχει τὰ δὴ λεγόμενα ῥήματα. **679** | B ⟨ὁ⟩ χρησμὸς ὁ δοθεὶς τῷ Αἰγεῖ οὗτός ἐστιν· 'ἀσκοῦ τὸν προύχοντα ποδάονα, φέρτατε λαῶν, μὴ λύσῃς, πρὶν γουνὸν Ἀθηνάων ἀφικέσθαι'. ἀσκοῦ οὖν τῆς γαστρός· πόδα δὲ τὸ μόριον, παρόσον ὡς ὁ ποδεὼν τοῦ 15 ἀσκοῦ προέχει. λέγει οὖν ὅτι ἔχρησέ μοι μὴ συνελθεῖν ἑτέρᾳ, πρὶν ἐπιβῆναι τῆς πατρίδος. τοῦτο γὰρ αἰνίττεται, ὅπερ αὐτὸς οὐ συνίησιν. ἀσκὸν τοίνυν λέγει τὸν περὶ τὴν γαστέρα τόπον. Ἀρχίλοχος [frg. 72] 'καὶ πεσεῖν δρήστην ἐπ' ἀσκὸν κἀπὶ γαστρὶ γαστέρα προσβαλεῖν μηρούς τε μηροῖς', δρήστην λέγων, οἷα δράσοντά τι. ποδεῶνα δὲ εἰώθασι λέγειν τὸ τοῦ ἀνδρὸς αἰδοῖον. 20 **681** | B^i ἕως ⟨ἂν⟩ ἐν τῇ πατρίδι γένωμαι. ἐξέχοντα δὲ μάλιστα ἐν σώματι τέσσαρα, κεφαλὴ χεῖρες αἰδοῖον πόδες. **682** | B^g στέλλεις. **683** | B^i πόλις Πελοποννήσου πλησίον Ἀθηνῶν. **686** | B τρίβων· εἰς τὰ τοιαῦτα περιτετριμμένος, ἐν τριβῇ ὢν τοῦ τοιαῦτα λέγειν, τουτέστι τοὺς χρησμούς. **687** | B δορυξένων: οἱ κατὰ τὸν πόλεμον πρὸς 25 ἀλλήλους φιλίαν πεποιηκότες, ὡς Γλαῦκος καὶ Διομήδης. **690** | B^i ὁ Ἰάσων ὁ φίλος σου κάκιστος τυγχάνει. | B^g λύπας. **692** | B^i λείπει ἄτοπον. **693** | B τί χρῆμα δράσας: σεσημείωται ὁ στίχος, ὅτι καὶ ἐν Πελιάσιν [frg. 602] ἐστίν, ὧν ἀρχὴ [frg. 601] 'Μήδεια πρὸς μὲν δώμασιν τυραννικοῖς'. | B^i ὁποῖον πρᾶγμα δράσας. 30

2—7 cf. lex. Bachm. p. 33, 25. 191, 24 Suid. s. u. ἀεί. δεῦρ' ἀεί. δεῦρο Hesych. s. u. ἀεί **6** δεῦρο νῦν B: em Schw. **7** ss cf. Athen. 13, 556 F Apollod. 3, 15, 6, 1 **12** ἤδη B: em Schw. **13** s cf. Plut. Thes. 3 Apollod. 3, 6, 15, 2 Tzetz. ad Lycophr. p. 648 **13** ⟨ ⟩ Schw. **14** ποδεῶνα B: em Tzetzae edd. uett.: πόδα ὃν (uel π. ὧ) Tzetzae codd.: πόδα μέγα Plut. Apollod. φέρτατε Plut. Apoll. Tzetz.: φίλτατε B λύσῃς Plut. Apoll. Tzetz.: λῦσαι B ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι Apoll. Tzetz.: δῆμον Ἀθηνέων εἰσαφικέσθαι Plut. ἀθηναίων B: em Wil. **19** προσβάλλειν B: em Matthiae, Elmsley **20** δράσαντά B: em Schw. **24** παρατετριμμένοσ B **29** ἄρχει B **30** δώμασι B

ABV LP

ΑΙ. μή που τετόλμηκ' ἔργον αἴσχιστον τόδε; 695
ΜΗ. σάφ' ἴσθ'· ἄτιμοι δ' ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.
ΑΙ. πότερον ἐρασθεὶς ἢ σὸν ἐχθαίρων λέχος;
ΜΗ. μέγαν γ' ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
ΑΙ. ἴτω νυν, εἴπερ ὡς λέγεις ἐστὶν κακός.
ΜΗ. ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν. 700
ΑΙ. δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
ΜΗ. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
ΑΙ. συγγνωστὰ μέν τἄρ' ἦν σε λυπεῖσθαι, γύναι.
ΜΗ. ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.
ΑΙ. πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν. 705
ΜΗ. Κρέων μ' ἐλαύνει φυγάδα γῆς Κορινθίας.
ΑΙ. ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπῄνεσα.
ΜΗ. λόγῳ μὲν οὐχί, καρτερεῖν δὲ βούλεται.
ἀλλ' ἄντομαί σε τῆσδε πρὸς γενειάδος

ABV LPΠ[2]

γονάτων τε τῶν σῶν ἱκεσία τε γίγνομαι, 710
οἴκτιρον οἴκτιρόν με τὴν δυσδαίμονα
καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος
γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις. 715

ABV LP

εὕρημα δ' οὐκ οἶσθ' οἷον ηὕρηκας τόδε·
παύσω δέ σ' ὄντ' ἄπαιδα καὶ παίδων γονὰς
σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.
ΑΙ. πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,
γύναι, πρόθυμός εἰμι, πρῶτα μὲν θεῶν, 720
ἔπειτα παίδων ὧν ἐπαγγέλλῃ γονάς·
ἐς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
οὕτω δ' ἔχει μοι· σοῦ μὲν ἐλθούσης χθόνα,
πειράσομαί σου προξενεῖν δίκαιος ὤν.
τοσόνδε μέντοι σοι προσημαίνω, γύναι· 725

ἐκ τῆσδε μὲν γῆς οὔ σ᾽ ἄγειν βουλήσομαι·
αὐτὴ δ᾽ ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
μενεῖς ἄσυλος κού σε μὴ μεθῶ τινι.
ἐκ τῆσδε δ᾽ αὐτὴ γῆς ἀπαλλάσσου πόδα.

---

695 ἦ που ll.: μή που Schenkl: οὔ που Witzschel: ἦ γὰρ Elmsley **696** σάφ᾽ οἶσθ᾽ A **698** s suspectos habet Wecklein **698** post ἔρωτα punctum del Verrall δ᾽ οὐκ V **699** νῦν ll.: em Barnes **703** μέν τἄρ᾽ G. Hermann: μὲν γὰρ LP: γὰρ rell.: κάρτ᾽ ἄρα Kirchhoff: μέντ᾽ ἂν uel ἄγαν ἄρ᾽ Wecklein σε λελυπῆσθαι A **705** μεῖζον ci Nauck: δεινόν Prinz ἀγγέλλεισ A **707** ἐπῄκασα ci Prinz **708** cf. Σ, qui καρτερεῖν δ᾽ οὐ βούλεται legisse uidetur Porsono καρτερεῖ δ᾽ ἃ Usener καρδίᾳ δὲ καρτερεῖ Heimsoeth **710** τῶν om VBP alterum τε om P: eras. B **711** οἴκτειρον bis ll. **714** s in suspicionem uocauit Prinz: post 718 traiecit F. W. Schmidt **715** θάνῃσ ll. praeter L[1]P: θάνεισ L: θάλοις Nauck **716** εὕρηκασ ll. **717** suspectum habet Murray γέ F.W. Schmidt **719** Aegei notam om V[1] **721** ὧν μ᾽ ll. praeter L[1] Haun. ἐπαγγέλῃ V **723** ἔχοιμι ll. praeter LBV[3] (sscr.) **725—28** damnat Kirchhoff, 723 s Hirzel, 729 Nauck, 730 post 726 transposuit Nauck **725** τοσόν γε sim. ll. praeter B προσημανῶ B

SCHOL. **695** | Bi ἀπιστῶν τοῦτο λέγει. **698** | Bi ἐρασθεὶς δηλονότι. **699** | Bi ἴτω: ἀντὶ τοῦ ἐρρέτω. **700** | Bi γάμον συγγένειαν. **701** | Bi διέρχου. **703** | Bi συγγνώμην εἶχες λυπουμένη· δικαίως γὰρ λυπῇ. τὸ δὲ ἦν ἀντὶ τοῦ ἐστί, χρόνος ἀντὶ χρόνου. **708** | B καρτερεῖν: ἀντὶ τοῦ κρατεῖν καὶ ἀντέχειν. καὶ τὸν ἐγκρατῆ λέγουσι καρτερόν. Ἀρχίλοχος [frg. 26] ʽὁ δ᾽ Ἀσίης τε καρτερὸς μηλοτρόφουʼ. φησὶν οὖν ὅτι τῷ λόγῳ μὲν προσποιεῖται, τῷ δὲ ἔργῳ οὐ θέλει κρατεῖν καὶ ἀντέχειν. | Bi γράφεται καρδίᾳ δὲ βούλεται. **712** | Bi ἀβοήθητον. **719** | Bi ἀπὸ κοινοῦ τὸ ἕκατι. **721** | Bi γενέσεις. **722** | B εἰς τοῦτο γὰρ δὴ φροῦδος: κατὰ γὰρ τοῦτο τὸ μέρος ⟨τὸ⟩ τῆς παιδοποιΐας ἔρημός εἰμι. ἢ τὸ φροῦδον ἀντὶ τοῦ πρόθυμον [[καὶ ἀσαφήνιστον]] οὕτως· εἰς τὸ παῖδας ποιῆσαι πάνυ ἐσπούδακα καὶ πρόθυμός εἰμι. ἔστι δὲ κυρίως ὁ προωδευκώς. **724** | Bi προΐστασθαι ξένης οὔσης. ἴσως ἵνα μὴ λυπήσῃ τὸν Ἰάσονα ἢ ἐπειδὴ ἀπῄει πρὸς Πιτθέα. **728** | Bi τὸ μή ὑπερβιβαστέον, τουτέστιν· οὐ μή σε μεθῶ τινι.

---

6 ἀσίῃι τε B: Ἀσίης (om τε) Σ ο 534 7 μηλοτρόφου Σ ο 534: μηλοτρόφοσ B 8 καρδία Bi 11 ⟨ ⟩ Schw. 12 [[ ]] utpote ad diuersam interpretationem spectantia Schw. cf. gl. V ἀφανήσ

ABV LP

ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω. 730

ΜΗ. ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.

ΑΙ. μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;

ΜΗ. πέποιθα· Πελίου δ' ἐχθρός ἐστί μοι δόμος
Κρέων τε. τούτοις δ', ὁρκίοισι μὲν ζυγείς, 735
ἄγουσιν οὐ μεθεῖ' ἂν ἐκ γαίας ἐμέ·
† λόγοις δὲ συμβὰς καὶ θεῶν ἐνώμοτος
† φίλος γένοι' ἂν κἀπικηρυκεύματα
† τάχ' ἂν πίθοιο· τἀμὰ μὲν γὰρ ἀσθενῆ,
τοῖς δ' ὄλβος ἐστὶ καὶ δόμος τυραννικός. 740

ΑΙ. πολλὴν ἔδειξας ἐν λόγοις προμηθίαν·
ἀλλ' εἰ δοκεῖ σοι, δρᾶν τάδ' οὐκ ἀφίσταμαι.
ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστατα,
σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
τὸ σόν τ' ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς. 745

ΜΗ. ὄμνυ πέδον Γῆς πατέρα θ' Ἥλιον πατρὸς
τοὐμοῦ θεῶν τε συντιθεὶς ἅπαν γένος.

ΑΙ. τί χρῆμα δράσειν ἢ τί μὴ δράσειν; λέγε.

ΜΗ. μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε,
μήτ' ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν 750

---

735 τούτοισι δ' VB μὴ Arnim **736** μεθεῖ' LΣ: V(?): μεθεῖσ BP: μεθῇσ AV[3] **737** ἀνώμοτοσ DB[2]. cf. Σ **738** φιλὸς Verrall: πιστὸς Blaydes κἀπὶ κηρυκεύμασι (κἀπικ . . . σιν) ll. contra Didym. et Σ: defendit Busch: τἀπικηρυκεύματα· Murray **739** οὐκ ἂν: τί γάρ; Busch πίθοιο ll.: προσοῖο Usener: παρεῖο Stadtmueller 735 ss sic disposuit Arnim: ζυγεὶς φίλος γ. ἄν, κἀπικηρυκεύματι ἄγουσιν ἂν κτλ. **741** ἔλεξασ ll.: em Sigonius et Valckenaer ἐν λόγοισ LP: ὦ γύναι AVBL[3] **743** ἀσφαλέστερα LP: sscr. V[3] **745** τὸ σὸν δ' ἄρηρε LP (ἄραρε L[3]) **746** ὄμνυμι A cum Eustath. Il. p. 436. cf. Σ **748** del Nauck μὴ δρᾶσαι P: V[3] sscr.

SCHOL. **730** | VB ἀναίτιος: ἀντὶ τοῦ ἀνέγκλητος ἄμεμπτος. οὐδὲ γὰρ βούλομαι, φησί, παρὰ τῶν περὶ τὸν Κρέοντα αἰτιαθῆναι, ὡς αὐτός σε ἀπαγαγών. **731** | Bg ὅρκος. **733** | Bg οὐ πιστεύεις. Bi τὸ ἐναντίον. **734** | VB Πελίου δ' ἐχθρός: κατὰ κοινοῦ τὸ ἐχθρός. ὁ δὲ νοῦς· σοὶ μὲν θαρρῶ καὶ πεπίστευκα, ἀλλὰ φοβοῦμαι μὴ 5

ἄρα ὁ τοῦ Πελίου δόμος καὶ ὁ Κρέων ἐχθροί μου ὄντες βιάσωνταί σε καὶ παρὰ προαίρεσιν προέσθαι με ἑαυτοῖς· ὅθεν ὅρκῳ σε [[τοῦτο]] βούλομαι πιστώσασθαι ὡς οὐκ ἄν με προῇ. **735** | VB τούτοις δ' ὁρκίοισι: ἐγκατειλημμένος ἐμπεπλεγμένος. ἀντὶ τοῦ μετὰ βίας ἄγουσιν. τὸ δὲ ἑξῆς· τούτοις ἄγουσιν οὐ μεθεῖο ἄν. | VB τούτοις δ' ὁρκίοισι μὲν ζυγείς: ὁ νοῦς· τούτοις δέ, τοῖς ἐχθροῖς, ἄγουσί με καὶ βιαζομένοις οὐκ ἂν ἐκδοίης, ὅρκοις προκατειλημμένος. διὸ βούλομαί σε ὀμνύναι. ἐὰν γὰρ ὀμόσῃς μοι, τοῖς περὶ τὸν Κρέοντα βουλομένοις με ἄγειν ἀπὸ τῆς Ἀττικῆς οὐκ ἂν μεθεῖο, οἷον· ἐξαιτουμένοις οὐκ ἂν δοίης· μὴ ὀμόσας δὲ φίλος γένοιο ἂν αὐτοῖς. διὰ δὲ τοῦ ἐπικηρυκεύματα θέλει εἰπεῖν [[ἀντὶ τοῦ]] ἐπικηρυκεύμασιν. λείπει ἡ διά, ἵν' ᾖ ὁ πᾶς λόγος· πέποιθα μὲν ἐφ' οἷς λέγεις μοι, ὁ δὲ τοῦ Πελίου δόμος καὶ ὁ τοῦ Κρέοντος ἐχθροί μοί εἰσιν. τούτοις οὖν βουλομένοις ἐξαιτεῖσθαί με οὐκ ἂν ἐκδοίης, ὀμόσας. εἰ δὲ διὰ λόγων μόνων σύνθοιο, ἴσως ἂν ἐκείνων γένοιο φίλος καὶ διὰ τὰ ἐπικηρυκεύματα, ὅ ἐστι τὰς πρεσβείας, ἐξαιτουμένοις με ἐκδοίης ἂν αὐτοῖς. **736** | Bg οὐκ ἐκδοίης. **737** | VB λόγοις δὲ συμβάς: εἰ δέ, φησίν, ἔλθοις εἰς σύμβασιν [[τῶν ἐμῶν]] λόγων καὶ συνθήκας ἐνωμότους ποιήσαιο πρὸς ἐμέ, εὖ οἶδα ὅτι μοι φίλος γένοιο ἂν καὶ ἐπίκουρος ἀσφαλὴς καὶ οὐκ ἂν τὴν πρὸς ἐκείνους φιλίαν προκρίναις. ἐπικηρυκεύματα γάρ ἐστι τὰ διὰ τῶν κηρύκων γινόμενα πρὸς φιλίαν. κεῖται οὖν ἡ λέξις ἐπὶ τῆς φιλίας. τῇ δὲ εὐθείᾳ ἀντὶ δοτικῆς κέχρηται. ἔδει γὰρ εἰπεῖν· καὶ τοῖς ἐπικηρυκεύμασιν οὐκ ἂν πίθοιο. Δίδυμος δέ φησιν ἐλλείπειν τὴν διά, ἵν' ᾖ· καὶ διὰ τὰ ἐπικηρυκεύματα. **738** | Bg βοηθός. | Bg λείπει τὸ ἐμοί. **741** | VgBi προβουλίαν σύνεσιν πρόγνωσιν. **743** | VB ἐμοί τε γάρ: καὶ ἐμοί, φησίν, ἀσφαλές ἐστι πρὸς τὸ μηδεμίαν μέμψιν ἔχειν παρ' αὐτῶν τὸ τὴν σκῆψιν ταύτην προβάλλεσθαι, τὸ φθάσας ὀμωμοκέναι μὴ προδοῦναί σε, καὶ τὸ σεσῶσθαί σε βεβαιότερον ἔσται τὴν σκῆψιν ταύτην προΐσχοντί μοι. σκῆψιν οὖν λέγει τὸ ὀμωμοκέναι αὐτῇ. τὸ δὲ ἐξηγοῦ θεούς ἀντὶ τοῦ· ὀνόμαζε τοὺς θεοὺς οὓς βούλει με ὀμόσαι.

---

2 οὐδὲ γὰρ B: οὐδὲν V περὶ τὸν om V **3** ἀγαγών V **6** οἱ τῷ πελία διαφέροντεσ V μοι V **7** ἐν αὐτοῖσ VB: em Schw. ὁρκῷ τοῦτο βουλομένῃ VB: em Wil. **8** πρόηι B: προδοίησ V *l* om V **9** ἐμπεπληγμένοσ B **10** τούτοις om V μεθεῖσαν VB **10—20** lemmate omisso scholio quod praecedit addunt VB **11** ὁ δὲ νοῦσ V τούτοισ δὲ ὅρκοισ ἐνιζ B δὲ B: δὴ V **12** ὅρκω V γὰρ om V **13** μοι om V **14** μεθεὶσ V **15** ἂν αὐτοῖς Schw.: ἂν V: αὐτοῖσ B τοῦτο V ἐπικηρυκεύματοσ VB θέλει: ἔδει ci Wil. [[ ]] Wil. **16** λείπει δὲ B πᾶσ ὁ λ. B **17** μου εἰσί B **18** οὖν om V ἐπιδοίη ὁ ὀμόσασ V **20** ὅ—πρεσβείας om B **21** φησίν om B **21s** ἔλθησ εἰσ τὴν σ. B **22** [[ ]] Schw. **23** ἂν καὶ Schw.: καὶ B: ἀντὶ τοῦ V **26** τοῖσ ἐκείνων ἐπικ. V **27** πείθοιο V **29s** *l* om V **30** τῷ V **31** προβαλλέσθαι V: προβαλέσθαι B **33** αὐτῆσ B **33s** τὸ δὲ—ὀμόσαι om V

ABV LP

χρήζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.
ΑΙ. ὄμνυμι Γαῖαν λαμπρὸν Ἡλίου τε φῶς
θεούς τε πάντας ἐμμενεῖν ἅ σου κλύω.
ΜΗ. ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;
ΑΙ. ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν. 755
ΜΗ. χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
πράξασ' ἃ μέλλω καὶ τυχοῦσ' ἃ βούλομαι.
ΧΟ. ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
πελάσειε δόμοις, ὧν τ' ἐπίνοιαν 760
σπεύδεις κατέχων πράξειας, ἐπεὶ
γενναῖος ἀνήρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.
ΜΗ. ὦ Ζεῦ Δίκη τε Ζηνὸς Ἡλίου τε φῶς,
νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι, 765
γενησόμεσθα κεἰς ὁδὸν βεβήκαμεν·
νῦν [[δ']] ἐλπὶς ἐχθροὺς τοὺς ἐμοὺς τείσειν δίκην.
οὗτος γὰρ ἀνὴρ ᾗ μάλιστ' ἐκάμνομεν
λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων, 770
μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.
ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
πέμψασ' ἐμῶν τιν' οἰκετῶν Ἰάσονα
ἐς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι· 775
μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους,
ὡς καὶ δοκεῖ μοι ταῦτα καὶ καλῶς ἔχει,
[[γάμους τυράννων οὓς προδοὺς ἡμᾶς ἔχει
καὶ ξύμφορ' εἶναι καὶ καλῶς ἐγνωσμένα·]]
παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι, 780

751 ζῶν LP: γῆς rell. cum L[3] **752** Γαίας δάπεδον Badham λαμπρόν θ' ἡλίου φάος VD: omisso θ' B: Ἡλίου θ' ἁγνὸν σέβας Porson

753 ἐμμένειν ll.: em Schaefer οἷς σου κλύω idem **754** παθεῖν Dindorf **755** βροτοῖσ LP post 755 aliquot uersus excidisse censet Nauck **758** τυχοῦσ' ὧν AP contra Phot. lex. p. 3, 8 R. **759** cf. Σ **767** seclusit Bothe, ante 765 posuit Treplin δ' del Matthiae **768** ἀνὴρ ll.: em Porson **769** cf. Eustath. Il. p. 189 πέφασται V **774** ἐμόν τιν' A **777** ταὐτὰ Barnes ἔχειν ed. Hervagiana secunda **778** del Valckenaer, 778 s Porson **779** καλῶσ εἰργασμένα LP **780** παῖδασ ο sup. αι scr. A[1]

Schol. **752** | Bi γράφεται Ἡλίου θ' ἁγνὸν σέβας. **758** | Bi ἀντὶ τοῦ· ὧν βούλομαι. **759** | Bi ταῦτα ἔνιοι τῷ χορῷ, ἔνιοι τῇ Μηδείᾳ προσνέμουσιν. | VB ἀλλά σ' ὁ Μαίας πομπαῖος: ὁ χορὸς ἐπεύχεται Αἰγεῖ ἐπὶ τῇ ἐπαγγελίᾳ. πομπαῖον δὲ τὸν Ἑρμῆν λέγει, ἐπεὶ παραπόμπιμος ὁ θεὸς καὶ εἰρηνικός, οἱ δὲ ὁδεύοντες μάλιστα εἰρήνης 5 δέονται. **761** | VBi πράξειας: καὶ πράξειας ταῦτα ὧν ἔχων ἐπιθυμίαν σπουδάζεις. **762** | Vg Bg εὐγενής. **763** | Vg Bi ἐνομίσθης. **764** | B ὦ Ζεῦ: τοῦτο μόνον ἡ Μήδεια αὐτὴ καθ' ἑαυτὴν ἀναφωνεῖ τῇ Δικαιοσύνῃ καὶ τοῖς λοιποῖς θεοῖς ὡς εὐχαριστοῦσα, τὰ δὲ λοιπὰ πρὸς τὸν χορόν. **765** | VB ἐχθρῶν, φίλαι: φίλας λέγει τὰς ἀπὸ τοῦ χοροῦ· 10 πρὸς αὐτὰς γὰρ νῦν διαλέγεται. εἰς ὁδόν δέ, ἀντὶ τοῦ· εἰς τὴν τῆς νίκης ἀρχὴν ἐληλύθαμεν. **768** | VB ᾗ μάλιστ' ἐκάμνομεν: καθ' ὃ μέρος ἐδυστύχουν. οὐκ ἔχουσα πρὸς ὃν καταφύγω, νῦν καθάπερ λιμένι, τούτῳ προσώρμισα. **769** | Bi σωτηρία. **770** | VB ἐκ τοῦδ' ἀναψόμεσθα: παυσόμεθα τῶν ταρασσόντων κακῶν. ὅταν γὰρ 15 ἀπόγεια δεθῇ, παύονται τῶν καμάτων οἱ ναῦται. | Bi προσδήσομεν. **771** | Bi εἰς Ἀθήνας. **773** | VB δέχου δὲ μὴ πρὸς ἡδονήν: μὴ νομίσῃς, φησίν, ἡδέα καὶ προσηνῆ εἶναι τὰ μέλλοντά σοι ῥηθήσεσθαι. ἔστι γὰρ ἀηδῆ μὲν εἰς ἀκοήν, ἀναγκαῖα δὲ ὅμως· ὡσεὶ ἔλεγεν· οὐκ ὤφειλον μὲν ὑμῖν τοιαῦτα ἀπαγγέλλειν οὐδ' οὕτω πράξειν κακῶς· ὅμως δὲ ἐπειδὴ 20 εἰς τοῦτο τύχης ἤλθομεν, ἀκούσατε τὰ βεβουλευμένα μοι, καίπερ ἀηδῆ ὄντα. **778** | Bi ἀντὶ τοῦ· κατὰ τοὺς γάμους τῶν τυράννων. **780** | VB παῖδας δὲ μεῖναι: αἰτήσομαι δέ, φησίν, αὐτὸν τοὺς παῖδας ἐᾶσαι ἐνταῦθα μεῖναι καὶ αὐτούς, φησί, συγκατακτενῶ. ἀλλ' ἵνα πρότερον διακονήσωσί μοι πρὸς τὸν τῆς Γλαύκης θάνατον. 25

---

1 ad u. 752 rett. Wil., u. 746 adscr. B **3** *l* om V **4** πομπαῖον—ἑρμῆν B: ἑρμῆν δὲ V **10** *l* om B λέγει νῦν V **11** s εἰς ὁδὸν—ἐλ. om V **12** *l* om V **13** s καθ. λ. τ. om B **14** προσώρμισμαι V **14** s *l* om B **16** κυμάτων VB: em Elmsley **17** *l* om B **18** σοι om V **19** ἡδέα B ἀκοὴν ἐλθεῖν B **20** δὲ om B **21** μοι om B **22** s *l* om B **25** τῆς om V

ABV LP

οὐχ ὡς λιποῦσ' ἂν πολεμίας ἐπὶ χθονὸς
ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖν.
[[νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα, 785
λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον·]]
κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
κακῶς ὀλεῖται πᾶς θ' ὃς ἂν θίγῃ κόρης·
τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
ἐνταῦθα μέντοι τόνδ' ἀπαλλάσσω λόγον· 790
ᾤμωξα δ' οἷον ἔργον ἔστ' ἐργαστέον
τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
τἄμ'· οὔτις ἔστιν ὅστις ἐξαιρήσεται·
δόμον τε πάντα συγχέασ' Ἰάσονος
ἔξειμι γαίας, φιλτάτων παίδων φόνον 795
φεύγουσα καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
ἴτω· τί μοι ζῆν κέρδος; οὔτε μοι πατρὶς
οὔτ' οἶκος ἔστιν οὔτ' ἀποστροφὴ κακῶν.
ἡμάρτανον τόθ' ἡνίκ' ἐξελίμπανον 800
δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
πεισθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τείσει δίκην.
οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
ζῶντας τὸ λοιπὸν οὔτε τῆς νεοζύγου
νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακῶς κακὴν 805
θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
μηδείς με φαύλην κἀσθενῆ νομιζέτω
μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,
βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ·
τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος. 810

ΧΟ. ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
σέ τ' ὠφελεῖν θέλουσα καὶ νόμοις βροτῶν

ξυλλαμβάνουσα δρᾶν σ' ἀπεννέπω τάδε.
ΜΗ. οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
τάδ' ἐστί, μὴ πάσχουσαν ὡς ἐγὼ κακῶς. 815
ΧΟ. ἀλλὰ κτανεῖν σὼ παῖδε τολμήσεις, γύναι;
ΜΗ. οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.
ΧΟ. σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.
ΜΗ. ἴτω· περισσοὶ πάντες οὑν μέσῳ λόγοι.
ἀλλ' εἶα χώρει καὶ κόμιζ' Ἰάσονα· 820

781 λιποῦσ' ἂν Elmsley: λιποῦσα ll.: λίπω σφε Burges **782** utpote e 1060s confictum del Brunck ἐχθροῖς παρασχῶ Arnim **785** proscripsit Valckenaer. cf. Σ φυγεῖν ALP **786** del Wil. (cf. 949) πλόκον: στέφοσ A **789** τοιοῖσδ' ἔχρισα Wieseler **790** post hunc u. unius u. spatium uacuum in A **792** τουνθένδ' ἐν V^1: γρ. τεῦ sup. θεν V^3 κατακτανῶ VBL **793** οὔτις: οὔ νιν Wecklein **798** ζῆν ἔτι AVB cf. Σ **799** cf. Σ **802** δώσει LP **805** παῖδ' V: γρ. δας sscr. V^3, unde παῖδας ὡς Wecklein κακὴν κακῶσ ll. praeter ABV^3 **811** ἐκοινώσω A **814** σὺ V^1 a. corr.: σὲ A^1 e corr.: B^3 συγγνώμην A **815** πασχούσῃ V^3: πάσχουσιν Wecklein **816** σὸν παῖδα B: σὸν σπέρμα LP **818** γύναι LV^3 (sscr.) **819** περὶ σοὶ A ὅὺν μέσῳ A: οὑμμέσω V: ὁὑμμέσωι B^1: οἱ sup. ὁὐ scr. B^2: οὑμέσω P: υν sup. ὑμ scr. P^2: ο[...]μέσω L: ὁἰν μέσω L^3: ὁὑν sscr. L^3 **820** εἶα ll. praeter LP

Schol. **785** | VB γράφεται δῆθεν μὴ φεύγειν χθόνα, ἵν' ᾖ ἀντὶ τοῦ· ὡς δὴ παραιτησομένους τὴν φυγήν. τιθέασι γὰρ τὸ δῆθεν ἀντὶ τοῦ ὡς δή. **790** | VB ἐνταῦθα μέντοι: μέχρι μὲν τούτου ἀποτερματίζω σοι καὶ ἵστημι τὸν λόγον σιωπῶσα. **791** | Bi καὶ νῦν προλέγει ὡς εἴωθεν. **793** | Bi τῆς σφαγῆς δηλονότι. **796** | Bi ἀντὶ τοῦ 5 δράσασα. **798** | V ἴτω: γινέσθω προχωρείτω τὰ δόξαντα. τί μοι γὰρ ὄφελος ζῆν. | Bi γινέσθω προχωρείτω. γράφεται δὲ καὶ οὔτε μοι πατήρ. **799** | Bg γράφεται ἀπαλλαγή. **804** | Bi λείπει ἡ ἀπό, οὔτε ἀπὸ τῆς νεοζύγου, ἤτοι νεογάμου. **807** | Bi ἀντὶ τοῦ εὐτελῆ ἁπλῆν δειλὴν ἐπιεικῆ. ἡσυχαίαν δὲ ἐνταῦθα ἀντὶ τοῦ 10 ἡσύχιον καὶ ἀνόητον. ἀλλὰ τοῦ ἑτέρου τρόπου, τουτέστι θρασεῖαν. **811** | B ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας: τὸ ἑξῆς· ἐπείπερ ἡμῖν τόνδ' ἐκοινώνησας λόγον, δρᾶν σ' ἀπεννέπω τάδε, ἀπεννέπω δὲ καὶ σὲ ὠφελοῦσα καὶ τοῖς νόμοις βοηθοῦσα. **814** | Bi τουτέστι· συγγινώσκω σοι ἐφ' οἷς παραινεῖς. **819** | Bi γινέσθω τὰ δόξαντα. πρὸς τὴν 15 θεράπαινάν φησιν.

1 γρ. B: τὸ γὰρ V **2** ἀντὶ τοῦ om V **4** καὶ ἵστημι om V σιωπῶσα om V

ABV LP

ἐς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
λέξῃς δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
εἴπερ φρονεῖς εὖ δεσπόταις γυνή τ' ἔφυς.

ΧΟ. Ἐρεχθεΐδαι τὸ παλαιὸν ὄλβιοι στρ.
καὶ θεῶν παῖδες μακάρων, ἱερᾶς 825
χώρας ἀπορθήτου τ' ἄπο, φερβόμενοι
κλεινοτάταν σοφίαν, αἰεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος, ἔνθα ποθ' ἁγνὰς 830
ἐννέα Πιερίδας Μούσας λέγουσι
ξανθὰν Ἁρμονίαν φυτεῦσαι·

822 λέξεισ ll.: em Elmsley **824** ἐρεχθεῖδαι ll. cum Σ **826** τ' ἄπο, φερβόμενοι B[2] cum Σ: τ' ἀποφερβόμενοι ll. **828** ἀεὶ AVBL **831** λέγουσι μούσας PL[3]

SCHOL. **823** | VB εἴπερ φρονεῖς εὖ δεσπόταις: δέσποιναν ἑαυτὴν λέγει οὐχ ὡς θεραπαινῶν οὐσῶν τῶν ἀπὸ τοῦ χοροῦ, ὅπου κατ' ἀρχὴν τοῦ λόγου φίλας αὐτὰς ὀνομάζει, ἀλλὰ τὸ δεσπόταις ἀντὶ τοῦ τοῖς ἄρχουσι καὶ τοῖς κρατοῦσιν· τὸ δὲ πληθυντικὸν ἀντὶ ἑνικοῦ· θέλει γὰρ εἰπεῖν ἐμοὶ τῇ κρατούσῃ. καὶ γὰρ βασιλέως θυγάτηρ ἐστὶ καὶ γυνὴ βασιλέως, 5 τοῦ Ἰάσονος, καὶ σῴζει τὸ εὐγενὲς φρόνημα. μηδαμῶς δὲ θαυμάσωμεν, εἰ Κορίνθιαι οὖσαι δέον τῷ τοῦ Κρέοντος μέρει προσθέσθαι ταύτῃ αἱροῦνται συγκρύπτειν· ἐλεύθεραι γὰρ οὖσαι τὸ παριστάμενον αὐταῖς δίκαιον προτιμῶσιν. ἔπειτα καὶ ἀεὶ ὁ χορὸς ἐν προσώπῳ τοῦ ποιητοῦ εἰσάγεται τῷ δικαίῳ προστιθέμενος. | Bi παρόσον ⟨γυνὴ⟩ γυναικὶ πέφυκεν ἐπί- 10 κουρος καὶ μάλιστα εἰς εὐνὴν ἀδικουμένη. **824** | VB Ἐρεχθεῖδαι: μακαρίζει νῦν τοὺς Ἀθηναίους ὡς εὐδαίμονας καὶ σοφίας πάσης ἐπιστήμονας ἱερούς τε καὶ μύστας, ὅτι μέλλει τὰ κατὰ τὴν Μήδειαν ἐπάγειν μιάσματα. τῇ γὰρ παραθέσει βούλεται αὐτὴν ἀποτρέψαι τοῦ κατὰ τῶν παίδων φόνου. οὕτως γὰρ ἐν τοῖς ἑξῆς ἐπάγει ὅτι οὐκ εἰκὸς τοὺς οὕτως ἱεροὺς καὶ σοφοὺς 15 ἄνδρας σὲ μιαιφόνον γενομένην ὑποδέξεσθαι. | VB Ἐρεχθεῖδαι τὸ παλαιόν: ἱκανὸν ἐγκώμιον ὁ χορὸς καταβάλλεται τοὺς Ἀθηναίους δικαίους καὶ θεοσεβεῖς ἀποκαλῶν, ἀποτρέπων τῆς πράξεως τὴν Μήδειαν, ὡς οὐκ ἂν οἱ τοιοῦτοι τὴν τοιαῦτα δράσασαν δέξαιντο. **825** | V καὶ θεῶν παῖδες: ἢ ὡς ἀπὸ τοῦ Ἡφαίστου καταγόμενοι. ὁ γὰρ Ἐρεχθεὺς ἐξ 20 Ἡφαίστου [[ἀπὸ γὰρ τοῦ ἐρίου ἐν ᾧ ἡ Ἀθηνᾶ τὸ σπέρμα τοῦ Ἡφαίστου σπογγίσασα ἔρριψε]]. λέγεται γὰρ ὡς Ἀθηνᾶς ἠράσθη Ἥφαιστος καὶ ἐδίωκεν αὐτὴν φεύγουσαν καὶ μυσαττομένην αὐτόν. μὴ συγχωρηθεὶς οὖν

συγγενέσθαι αὐτῇ ἀπεσπέρμηνε περὶ τὸν μηρὸν αὐτῆς. ἐκείνη δὲ μυσαχθεῖσα τὸ γεγονὸς ἐρίῳ σπογγίσασα τὸν θορὸν εἰς τὴν γῆν· ἔρριψε καὶ ἐξ ἐκείνου 25 ἀνέδωκεν ἡ γῆ τὸν Ἐρεχθέα. **826** | VB χώρας ἀπορθήτου: ἡ σύνταξις· ἀπὸ ἀπορθήτου χώρας. ἀπόρθητον δὲ αὐτὴν εἶπεν διὰ τὰς θρυλουμένας πολλὰς νίκας αὐτῶν. αὐτοὶ γὰρ ἀπόρθητοι καὶ ἀήττητοι διετέλεσαν. τὸ δὲ φερβόμενοι σοφίαν, ἀντὶ τοῦ προσλαμβάνοντες καὶ παιδευόμενοι πᾶσαν σοφίαν. οὕτω δὲ εἶπεν ὡς ἀναγκαίας αὐτοῖς 30 οὔσης τῆς παιδεύσεως, καθάπερ ἄλλοις τροφῆς. | B[i] καρπούμενοι. **830** | VB παρόσον οἱ σοφίας ἐντὸς καθαρώτερον τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς τὰ θεῖα φαντάζονται, μονονουχὶ καὶ θεοῖς αὐτοῖς ὁμιλεῖν πιστευόμενοι. ἢ ὡς τοῦ παρ᾽ αὐτοῖς ἀέρος φύσιν ἔχοντος τρέφειν ἀεὶ σοφοὺς ἄνδρας. τουτέστιν· ἀεὶ βιοτεύουσι λαμπροτάτῃ παιδεύσει, ἁπλῶς καὶ εὐμαρῶς ταύτην 35 μεταχειριζόμενοι ἅτε δὴ τοῦ παρ᾽ αὐτοῖς ἀέρος εἰς τοῦτο πεφυκότος, ἵνα τὸ μὲν βαίνοντες ἀντὶ τοῦ βιοτεύοντες, τὸ δὲ αἰθέρος ἀντὶ τοῦ ἀέρος ἐκδεξώμεθα. | BVg ἔνθα ποθ᾽ ἁγνάς: ὅπου λέγεται ὑπὸ τῶν Μουσῶν τὴν ἐν μουσικῇ ἁρμονίαν φυτευθῆναι. ὅπου αἱ δυνάμεις τῶν ἐννέα Μουσῶν. **834** | VB ξανθὰν Ἁρμονίαν: ἔνιοι λέγουσι τὸν 40 Εὐριπίδην τὰς Μούσας λέγειν Ἁρμονίας θυγατέρας, ἀγνοήσαντες. οὐ γὰρ τοῦτο λέγει, ἀλλ᾽ ὅτι αἱ Μοῦσαι πρῶτον ἐπὶ τῆς Ἀττικῆς ἐλθοῦσαι τὴν ἁρμονίαν ᾖδον καὶ τὴν μελῳδίαν. διὰ γὰρ τοῦ φυτεῦσαι τοῦτο παρίστησι νῦν. περὶ δὲ τοῦ τὰς Μούσας ἐν τῇ Ἀττικῇ ἱδρῦσθαι ἀρκεῖ τὰ Παλαιφάτου. ὁ δὲ λόγος· ἔνθα, φησίν, ἐν ταῖς Ἀθήναις, λέγονται αἱ Μοῦσαι γεννῆσαι 45 καὶ καταστήσασθαι πάσης σοφίας τὴν ἁρμονίαν. λέγει δὲ τὴν παίδευσιν, παρὰ τὸ ἁρμόζεσθαι καὶ ἑνοῦσθαι τῇ ψυχῇ ταύτην. ἢ ὅτι συγκεχυμέναις ταῖς ψυχαῖς αὐτὴ ὑπεισελθοῦσα [[εἰς]] ἁρμονίαν καὶ εὐστάθειαν εἰσάγει σωφρονεῖν παρέχουσα. | B[i] αὗται τὴν ἁρμονίαν ἐφύτευσαν. | B[i] ξανθήν: τὴν εὐανθῆ. 50

---

4 κρατοῦσι B **6** μηδ. δὲ V: μὴ τοίνυν B **7** δέον om V προθέσθαι B: οὐ προσεκείνοισ (i. προσέκειντο) ἀλλὰ V ταύτην VB: em Wil. **7s** συγκρύπτειν ἡροῦντο V **10** ⟨ ⟩ Schw. **11** ἱερ. B: ἱερασ χώρασ V **13** τὴν om V **14** ἀποτρέψασθαι B **16** ἀνθρώπουσ V ὑποδέξασθαι VB **19** δέξωνται V **19—26** cf. Apollod. 3, 14, 6 schol. B 547 Hyg. fab. 166 Seru. georg. 3, 113 etym. magn. p. 371, 32 cataster. 13 Hyg. astr. 2, 13 schol. Germ. p. 73 **21s** [[ ]] Wil. **25** διασπογγίσασα V **26** *l* om V **26—31** Σ 10—16 adi. V, ab ἡ δὲ σύνταξισ οὕτωσ incipiens **29** προλαμβάνοντεσ V **30** αὐτῆσ V **31** ἄλλησ V **32** ἔνθα ποθ᾽ ἁγνάσ *l* V **32—38** scholio insequenti adi. B **34** ὡσ παρὰ τὴν ἀ. πίστιν V φέρειν VB: em Wil. ἀεὶ δὲ V **39** γεγενῆσθαι B **39s** ὅπου—Μουσῶν om B **40—49** Σ 32—38 adi. B **40** ἔνιοι δὲ B **43** τοῦ B: το V **44** cf. Suid. s. u. Παλαίφατος schol. Rhes. 346 K 435 ἱδρύσασθαι V ἀρκεῖ ⟨παραφέρειν⟩ ci Schw. **45s** γεννῆσαι καὶ om V **47** ἁρμόσασθαι V **47s** συγκεχυμένασ τῇ ψυχῇ V: σ. τὰσ ψυχὰσ B: em Wil. **48** ὑπεισελθούσασ V: ἐπεισελθοῦσα B [[ ]] Wil.

ABV LP

τοῦ καλλινάου τ' ἐπὶ Κηφισοῦ ῥοαῖς ἀντ. 835
τὰν Κύπριν κλῄζουσιν ἀφυσσαμέναν
χώραν καταπνεῦσαι μετρίας ἀνέμων
ἡδυπνόους αὔρας.
αἰεὶ δ' ἐπιβαλλομέναν 840
χαίταισιν εὐώδη ῥοδέων πλόκον ἀνθέων
τᾷ Σοφίᾳ παρέδρους πέμπειν Ἔρωτας,
παντοίας ἀρετᾶς ξυνεργούς. 845
πῶς οὖν ἱερῶν ποταμῶν ἢ πόλις ἢ φίλων στρ.
πόμπιμός σε χώρα
τὰν παιδολέτειραν ἕξει,
τὰν οὐχ ὁσίαν μετ' ἄλλων; 850
σκέψαι τεκέων πλαγάν,
σκέψαι φόνον οἷον αἴρῃ.
μή, πρὸς γονάτων σε πάντως
πάντῃ σ' ἱκετεύομεν,
τέκνα φονεύσῃς. 855

835—840 damnauerit Murray **835** τοῦ del L[3] δ' Wecklein ἀπὸ AVB κηφισσοῦ AP ῥοᾶσ sscr. A[3]: ῥοῶν sscr. B[2] **836** κλῄζουσιν AV ἀφυσαμέναν ll. praeter BPV: ἀρυσσαμέναν Wecklein **837** post χώραν lacunam statuit Kirchhoff cum G. Hermanno ἡδ. αὔρ. grammaticis deberi ratus **840** ἡδυπνόους om ll. praeter LP[3] αὔρασ ἡδυπνόουσ V[3] αἰεὶ L[3]: ἀεὶ rell. **843** τᾶς σοφίας Wecklein **847** ἢ φίλων ἢ πόλισ ll. praeter LPΣ ἡ πόλισ V[3] εἰ πέλας; ἢ φίλων ci Murray **848** πόμπιμον B[2]L[3]V[3] χώραν V[1] **850** μετ' ἀστῶν Jacobs: μεθ' ἁγνῶν Elmsley: μέτοικον Prinz **852** αἱρῇ ll.: em Elmsley **853 s** πάντως πάντῃ σ' Nauck: πάντωσ πάντεσ ll. praeter LP, qui πάντεσ πάντωσ: πάντῃ πάντως Herwerden rectius **855** μὴ φονεύσῃσ ll.: em Brunck

---

Schol. **835** | VB τοῦ καλλινάου: νῦν τοῦ ἐν Ἀττικῇ μνημονεύει. ἔστι γὰρ καὶ ἕτερος ὁμώνυμος ἐν Βοιωτίᾳ. εἰσὶ δὲ καὶ ἕτεροι, καθά φησι Πολέμων ἐν τῷ Περὶ ποταμῶν, γράφων οὕτως [frg. 81]· '[[ἐν]] Ἀθήνησί τε Κηφισὸς καὶ ἐν Σικυῶνι καὶ ἐν Ἄργει * * **837** | B[i] ἀνιμωμένην ἐπὶ τὴν χώραν καταπνεῦσαι. | VB ἀπὸ κοινοῦ τὸ κλῄζουσι, τουτέστι· 5 λέγουσι δὲ τὴν Ἀφροδίτην ἀεὶ καὶ διηνεκῶς ἐνταῦθα [[ποιεῖν]] περιτιθεμένην τοῖς ἑαυτῆς πλοκάμοις πολύν τινα κόσμον καὶ οὕτως δὴ ἐρασμίαν ἑαυτὴν

παρασκευάσασαν ἐξαποστέλλειν τοὺς ἐπὶ πᾶσαν σοφίαν ὁδηγοὺς ἔρωτας.
ἐμφαίνει δὲ διὰ τούτων, ὡς ἐρωτικῶς ἔχοντες πρὸς πᾶσαν σοφίαν οἱ
Ἀθηναῖοι εἰκότως τὸν κατὰ πάντων ἔχουσι τῆς παιδεύσεως στέφανον. 10
ὡσεὶ ἔλεγεν· ἀεὶ δὲ ἐρωτικῶς ἔχοντες πρὸς πᾶσαν σοφίαν οὗτοι περιτίθενται
τὸν πολυανθῆ τῆς παιδεύσεως στέφανον, μόνοι πιστευόμενοι πάντας νικᾶν
τῇ παιδεύσει. **840** | VB ἀεὶ δ᾽ ἐπιβαλλομέναν: ἀεὶ δὲ λέγουσι
τὴν Ἀφροδίτην στεφανοῦσαν τούτους εὐώδει ῥόδων πλόκῳ πέμπειν αὐτοὺς
τῇ σοφίᾳ παρέδρους. **843** | VB παρέδρους: ἀντὶ τοῦ συνοίκους 15
παρόσον οὐκ ἐκτός εἰσιν ἔρωτος οἱ περὶ σοφίαν καὶ πᾶσαν ἀρετὴν δια-
κείμενοι. **846** | V πῶς οὖν ἱερῶν: πῶς οὖν τὴν τεκνολέτειραν
ὑποδέξεται ἡ πόλις τῶν ἱερῶν ποταμῶν ⟨ἢ⟩ ἡ χώρα τῶν φίλων, τουτέστι
τῶν ἡδέων καὶ ἀγαθῶν. | VB ἄλλως: ἡ μεταξὺ τῶν ἱερῶν κειμένη
ποταμῶν. τῷ προτέρῳ δὲ διαζευκτικῷ συνδέσμῳ, τῷ ἤ, τὸ ἡ ἄρθρον 20
ἔξωθεν προσθετέον, τουτέστιν· ἢ ἡ πόλις ἢ ἡ χώρα. ὁ δὲ νοῦς· πῶς ἂν
οὖν σε δέξαιτο ἡ πόλις αὕτη, ἡ ἱεροὺς ἔχουσα ποταμοὺς καὶ καθαροὺς
παντὸς μολύσματος, ἢ ἡ τῶν κατ᾽ αὐτὴν ἀνδρῶν προσφιλεστάτων ἡμῖν
χώρα, παιδοκτόνον γενομένην καὶ ἀνοσίαν τῷ κατὰ τῶν φιλτάτων φόνῳ.
847 | VB ἢ φίλων: ἀντὶ τοῦ προσφιλεστάτων καὶ φιλοξενωτάτων. οὐκ 25
εἰκῇ δὲ τοῦτο, ἀλλ᾽ ἵνα αἰνίξηται πρὸς ἀποτροπὴν τὴν ὑπερβάλλουσαν
ἀνοσιότητα τοῦ φόνου, ὅτι, καίπερ φιλόξενοι πεφυκότες, πρὸς σὲ τοιαύτην
γενομένην ἀξενώτατοι γενήσονται. **848** | B πόμπιμος: ἡ τὴν
ἐκπεμφθεῖσαν ὑποδεχομένη, οὐκ αὐτὴ πόμπιμος οὖσα. **850** | B^i σὲ
τὴν ⟨μετ᾽⟩ ἄλλων εὐσεβῶν [[σὲ]] ἀσεβῆ οὖσαν. **851** | VB σκέψαι 30
τεκέων πλαγάν: τὴν πληγήν, φησί, τὴν τῶν τέκνων καὶ τὸν φόνον μὴ
προπετῶς δράσῃς, ἀλλὰ πρότερον μεθ᾽ ἡμῶν ἢ ἄλλων τινῶν σκέψαι εἰ
τοῦτο χρή σε δρᾶσαι.

---

2 δὲ om V **2s** καθά—οὕτως om V **3** [[ ]] Schw. **4** lac. agnouit Preller conl. Strabon. 9, 424 **5** τὰν κύπριν κληΐζουσιν *l* V ἀπὸ V: κατὰ B **6** [[ ]] Schw.: οἰκεῖν Wil. περιτιθέναι μὲν VB: em Schw. **10** ἔχει V τῆς om V **11** οἷον ὡσεὶ B ἔρωτα V: ἔρωτασ B: em Schw. οἱ ἀθηναῖοι οὗτοι V **12s** μόνοι—παιδεύσει om V **13** *l* om B **13—15** scholio praecedenti adi. B **14** τούτοισ V εὐώδη V ῥοδέων VB πλόκον V πέμπει V **15ss** scholio quod antecedit add. V **15** παρέδρουσ δὲ V praeter hoc schol. separatim exh. B παρέδρουσ δὲ ἀντὶ τοῦ συνοίκουσ **16** ἐστὶν ex εἰσὶν corr. V ὁ V σοφίαν μάλιστα V **16s** διακείμενοσ V: ⟨ἐρωτικῶς⟩ διακείμενοι ci Schw. **18** ⟨ ⟩ Schw. **19** ἡ B: ὁ V **19s** ποτ. κειμ. V **21** ἔξωθεν προσθετέον om V ἂν om V **22** alterum ἡ om V **23** προσφιλεστάτη B ἡμῶν V **24** χώρα V: πόλισ B **27** τὴν τοιαύτην V **29s** ὁ την ἀλλωσ εὐσ. ἀσ. οὖ. B^i: em Schw. **30—33** bis scriptum in V **30s** *l* om B **31** φησί om V^1 τὴν ἐκ τῶν V **32** εἰ Barnes: ἢ V^1: εἰσ VB **33** χρή σε δρᾶσαι V^1: χρή σε δράναι V: δρᾶσαι σε χρή B

ABV LP

πόθεν θράσος ἢ †φρενὸς ἢ χειρὶ τέκνων σέθεν ἀντ.
καρδίᾳ τε λήψῃ,
δεινὰν προσάγουσα τόλμαν;
πῶς δ' ὄμματα προσβαλοῦσα 860
τέκνοις ἄδακρυν μοῖραν
σχήσεις φόνου; οὐ δυνάσῃ,
παίδων ἱκετᾶν πιτνόντων,
τέγξαι χέρα φοινίαν
τλάμονι θυμῷ. 865

ΙΑ. ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς
οὐκ ἂν ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι
τί χρῆμα βούλῃ καινὸν ἐξ ἐμοῦ, γύναι.

ΜΗ. Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν 870
εἰκός σ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.
ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
κἀλοιδόρησα· 'σχετλία, τί μαίνομαι
καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,
ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι 875
πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
γήμας τύραννον καὶ κασιγνήτους τέκνοις
ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
θυμοῦ; τί πάσχω, θεῶνποριζόντων καλῶς;
οὐκ εἰσὶ μέν μοι παῖδες, οἶδα δὲ χθόνα 880
φεύγοντας ἡμᾶς καὶ σπανίζοντας φίλων';
ταῦτ' ἐννοήσασ' ᾐσθόμην ἀβουλίαν
πολλὴν ἔχουσα καὶ μάτην θυμουμένη.

---

856 πῶσ δὲ L^3 ἢ φρεσὶν Beck: ἐς φόνον Wecklein: ἄφρονι σῇ anonymus **857** τέκεσιν Usener **858** τε: σὺ Kayser **859** προσάγουσαν V^1 **860** ὄμμα A^1VB προσλαβοῦσα V^1: προβαλοῦσα L^1P **862** φόνον ll. praeter ΑVΣ: φόνῳ V^3 (sscr.), quod cum sequentibus coniunxerit Brubach: ποτέ; Wecklein δυνήσῃ $LPBV^3$ **863** ἱκέταν V^1

πιτνώντων ll. praeter LPV[1] **864** χεῖρα ll. cum Σ praeter L[3] φοινίαν L[3]: φοίνιον L[1]: φονίαν ABV: φόνιον P: V[3] (sscr.) **865** τλήμονι ll. praeter LP **867** οὔ τᾶν Porson ἁμάρτησ LP τοὐδέ τ' (τοὐδ' ἔτ') ll. praeter LP **869** ἰάσων V[1] **871** γ' LP νῶϊν ll. praeter LP **874** βουλεύσασιν P **878** φυτεύσων Wecklein **882** ἐννοηθεῖσ' LP

SCHOL. **856** | VB πόθεν θράσος: ἀντὶ τοῦ· τίνι λογισμῷ χρησαμένη. τουτέστι· τίς σε τῶν πάντων πείσει τοσοῦτον θράσος ἐνθεῖναι τῇ σαυτῆς ψυχῇ ἢ τῇ δεξιᾷ ὁπλιζομένῃ κατὰ τῶν φιλτάτων παίδων. | V τὸ ἑξῆς οὕτως· πόθεν θράσος λήψῃ φρενὸς καρδίᾳ ἢ χειρί, κατὰ τῶν τέκνων σου δεινὰν προσάγουσα τόλμαν. λείπει γὰρ ἡ κατά. τὸ δὲ ἢ καρδίᾳ 5 ἢ χειρὶ ἀντὶ τοῦ ἢ ἐννοίᾳ ἢ πράξει. **858** | B ἀντὶ τοῦ· κατὰ τὴν σαυτῆς καρδίαν καὶ τὸν λογισμόν. προσλήψῃ σχήσεις. **861** | V τέκνοις ἄδακρυν μοῖραν: μοῖραν τὸν καιρόν. καὶ Ἀριστοφάνης 'ὃν ὄλβιαι Μοῖραι ξυνάγουσιν' ἐν Βατράχοις [452]. **862** | Bg λείπει ἡ εἰς. οὐ καρτερήσεις. **864** | VB τέγξαι χεῖρα φόνου: τὸ ἑξῆς· φόνου 10 χεῖρα φονίαν. εὖ οἶδα, φησί, ὅτι οὐ καρτερήσεις τὴν ἐργάτιν τοῦ φόνου χεῖρα μολῦναι τῷ αἵματι τῶν παίδων γονυπετούντων σε. **866** | VB ἥκω κελευσθείς: ἥκω, φησίν, ὑπὸ σοῦ κελευσθεὶς καὶ μεταπεμφθείς. καίτοι γὰρ οἶδα δυσμενῆ σε, ὅμως τούτου οὐκ ἂν ἁμάρτοις, τοῦ ἐμὲ ἐλθεῖν. ἰδού, φησί, καίπερ δυσμενῶς ἔχουσα πρὸς ἐμέ, τυγχάνεις τῆς ἐμῆς παρου- 15 σίας καὶ κελευσάσῃ σοι οὐκ ἠπείθησα. **867** | Bi τοῦ ἐμὲ παρεῖναι. **869** | VB Ἴασον, αἰτοῦμαί σε: αἰτοῦμαι, φησίν, ἃς πεποίημαι πρὸς σὲ μετ' ὀργῆς ὕβρεις, ῥᾳδίως φέρειν καὶ μὴ μνησικακεῖν, ὑπομιμνῃσκόμενον τῆς προτέρας ἡμῶν συνηθείας καὶ ὧν ἐπράξαμεν εἰς ἀλλήλους εὐεργεσιῶν. **871** | VBi εἰκός σ' ἐπεὶ νῷν: ἐπεὶ ἡμῖν τοῖς δυσὶν ὑπείργασται, ἀντὶ 20 τοῦ πέπρακται, πολλὰ προσφιλῆ. **872** | VB ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων: ἐγὼ ἐμαυτῇ διὰ λόγων ἐπετίμησα. ὑποκρίνεται δὲ νῦν καὶ μετὰ εἰρωνείας ταῦτα λέγει. **879** | Bi τί κακοπαθεῖν βούλομαι; **880** | VB οὐκ εἰσὶ μέν μοι παῖδες: ταῦτα, φησί, πρὸς ἐμαυτὴν διείλεγμαι, ὦ Ἴασον, ὅτι παῖδας ἔχω τοὺς ἐκ σοῦ καὶ οὐ δεῖ με λυπεῖσθαι 25 τῷ νυνὶ γάμῳ, εἶθ' ὅτι καὶ φυγάδες ἐσμὲν ἐκβεβλημένοι τῆς Θετταλίας καὶ διὰ τοῦτό με δεήσει τὴν ἐνταῦθα διατριβὴν ἀσπάζεσθαι, ἔρημον οὖσαν φίλων.

---

2 πείσει om V θρ. τοσ. V **3** παίδων παρεσκεύασεν B **5** προσάγουσαν V: em Schw. post κατά exh. V: τὸ δὲ πόθεν ἀντὶ τοῦ (1) — τουτέστιν (2) — σεαυτῆς — φιλτάτων (3) **9** ἐν Schw.: ἔνθα V **10** *l* B: οὐ δυνάσῃ παίδων V **10** s φόνου χεῖρα φόνου φονίαν V **11** τῆι ἐργάσει B **12** τῷ om B σε om V **13** καίτοι Schw.: καὶ VB: κεἰ Wil. **16** κελευούσηι B σοι om B **17** *l* om B **18** ὑπομνησκόμενον V **19** πρὸσ B **20** s ἀντὶ τοῦ Bi: ὅ ἐστι V **21** πολλὰ πρ. om V **21** s *l* om B διὰ λόγων om V **25** ἔχων V **26** καὶ φυγάδεσ B: κατὰ φυγάδ' V ἐκβεβλημένησ V

ABV LP

νῦν οὖν ἐπαινῶ· σωφρονεῖν τ᾽ ἐμοὶ δοκεῖς
κῆδος τόδ᾽ ἡμῖν προσλαβών, ἐγὼ δ᾽ ἄφρων, 885
ᾗ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων,
καὶ ξυμπεραίνειν καὶ παρεστάναι λέχει
νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
ἀλλ᾽ ἐσμὲν οἷόν ἐσμεν, οὐκ ἐρῶ κακόν,
γυναῖκες· οὔκουν χρῆν σ᾽ ὁμοιοῦσθαι κακοῖς, 890
οὐδ᾽ ἀντιτείνειν νήπι᾽ ἀντὶ νηπίων.
παριέμεσθα, καί φαμεν κακῶς φρονεῖν
τότ᾽, ἀλλ᾽ ἄμεινον νῦν βεβούλευμαι τόδε.
ὦ τέκνα τέκνα, δεῦτε, λείπετε στέγας,
ἐξέλθετ᾽, ἀσπάσασθε καὶ προσείπατε 895
πατέρα μεθ᾽ ἡμῶν, καὶ διαλλάχθηθ᾽ ἅμα
τῆς πρόσθεν ἔχθρας ἐς φίλους μητρὸς μέτα·
σπονδαὶ γὰρ ἡμῖν καὶ μεθέστηκεν χόλος.
λάβεσθε χειρὸς δεξιᾶς· οἴμοι, κακῶν
ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων. 900
ἆρ᾽, ὦ τέκν᾽, οὕτω καὶ πολὺν ζῶντες χρόνον
φίλην ὀρέξετ᾽ ὠλένην; τάλαιν᾽ ἐγώ,
ὡς ἀρτίδακρύς εἰμι καὶ φόβου πλέα.
χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη
ὄψιν τέρειναν τήνδ᾽ ἔπλησα δακρύων. 905

ΧΟ. κἀμοὶ κατ᾽ ὄσσων χλωρὸν ὡρμήθη δάκρυ·
καὶ μὴ προβαίη μεῖζον ἢ τὸ νῦν κακόν.

ΙΑ. αἰνῶ, γύναι, τάδ᾽, οὐδ᾽ ἐκεῖνα μέμφομαι·
εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος

---

884 τ᾽ ἐμοί ll.: τέ μοι Lascaris **886** ᾗ et ἦν V[1]: γρ. ἣ V[3] **887** secl. Nauck ξυγγαμεῖν σοι L. cf. ΣΒ παριστάναι Hartung λεχοῖ Lenting **890** χρῆν AB: ἐχρῆν V: χρῆ P: χρή L σ᾽ ἐξομοιοῦσθαι V, unde ἐξ. σε χρῆν Prinz, σ᾽ ὁμ. φύσιν Stadtmueller **893** τάδε LP: V[3] (sscr.) **894—923** sic transposuerit et distribuerit Prinz: ΙΑ. 908—913. ΜΗ. 894—898. ΙΑ. 914—917. ΜΗ. 918—921. 899—905. ΧΟ. 906 s ΙΑ. 922 s **894** δεῦρο Elmsley **905** τερεινήν (-είνην A) ll.: em Barnes **906** κἀμοί γ᾽ ἀπ᾽ Wecklein θερμὸν Christ. pat. 479. cf. Σ **907** μᾶσσον Cobet τὸ: τὰ Elmsley **908** οὐδ᾽: οὐκ AL

SCHOL. **886** | Bi συμμετέχειν κοινωνεῖν. **887** | Bi ἀντὶ τοῦ· συμπεραίνειν σοι γεγαμηκότι καὶ ὑπηρετῆσαί σοι. ἑξῆς δὲ αὐτὰ σαφηνίζει λέγουσα καὶ παρεστάναι λέχει. **891** | Bg ἀντιφιλονεικεῖν. **892** | B παριέμεσθα: παυόμεθα παραπεμπόμεθα, οἷον· παραιτοῦμαι συγχωρῶ. **896** | Bg μεταβλήθητε. **899** | VB λάβεσθε 5
χειρός: τοῦτο ἠρέμα καὶ καθ' ἑαυτήν, ὡς ἐννοοῦσα τὴν ἀπήνειαν τοῦ φόνου κατὰ τῶν παίδων. φεῦ μοι, φησί, τῶν κακῶν, ὡς ἀλγῶ τὴν ψυχήν, ἐννοοῦσα τὸ κεκρυμμένον ἐν τῇ ἐμῇ ψυχῇ κακόν· λέγει δὲ τὸν τῶν παίδων φόνον. ἀπὸ δὲ τούτου φαίνεται τὸ μὴ κατὰ προαίρεσιν αὐτὴν ὁρμᾶν ἐπὶ τὸν φόνον, ὅπου γε περιαλγεῖ τὴν ψυχὴν τῷ πάθει, ἀλλὰ διὰ τὸ προτεθυμῆ- 10
σθαι ἀμύνασθαι τὸν Ἰάσονα. δύναται δὲ καὶ εἰς ἐπήκοον τοῦ Ἰάσονος λεγόμενον πρὸς τοῦτον οὕτως· ἀγωνιῶ καὶ πάνυ τετάραγμαι ἐκεῖνο ἐνθυμουμένη τῶν κεκρυμμένων καὶ ἀδήλων ἀνθρώποις πραγμάτων, εἰ ζήσονται οὗτοι σὺν ἡμῖν πολὺν χρόνον· ὡς ἕτερον μὲν αὐτὴν νοεῖν, ὅπερ ἔμελλε δρᾶν, ἑτέρως δὲ ἐκδέχεσθαι τὸν Ἰάσονα, ὅτι ἄρα ἄδηλα τὰ κατὰ ἀνθρώπους καὶ 15
κεκρυμμένα. **900** | VB ὡς ἐννοοῦμαι: οὐκ ἀναγκαῖον ἦν ταῦτα λέγειν· φαντασίαν γὰρ παρέχει τῷ Ἰάσονι ὡς κακοτεχνοῦσα. ἀλλ' ἕνεκα τῶν κοινῶν κατ' ἀνθρώπους κακῶν τὰ τοιαῦτα παρεγχωρεῖ λέγειν. **901** | VB ἆρ' ὦ τέκν': καὶ τοῦτο κατὰ διπλῆν ἔννοιαν, ἥν τε ὁ Ἰάσων ὑπολαμβάνει οὐχ ὑγιῶς καὶ ἣν αὐτὴ κρύπτει ἀληθεύουσα. **903** | VB ὡς 20
ἀρτίδακρυς: ἀντὶ τοῦ ἑτοιμόδακρυς. ἢ προσφάτως δακρύουσα. χρὴ δὲ νοεῖν ὅτι ἐδάκρυσε μὲν ἀλγοῦσα τὴν ψυχήν, ὅτι πρὸς τοῦτο τῆς τύχης κατήντησε καὶ νῦν ἀναγκάζεται ταῦτα δρᾶν· ὁ δὲ Ἰάσων ᾤετο αὐτὴν δακρύειν οἰκτείρουσαν τοὺς παῖδας ἐπὶ τῷ στέρεσθαι τοῦ πατρός. **904** | VB χρόνῳ δὲ νεῖκος: διὰ πολλοῦ, φησί, χρόνου τῆς πρὸς τὸν 25
πατέρα ὑμῶν φιλονεικίας ἀποστᾶσα καὶ νῦν διαλλασσομένη πλήρης γέγονα δακρύων. **905** | Bg ἀπαλήν. **906** | Bg ὑγρόν. ⟨γράφεται⟩ θερμόν. **909** | VB εἰκὸς γὰρ ὀργάς: πέφυκε γάρ, φησί, τὸ θῆλυ γένος χαλεπῶς ἔχειν τῷ ἀνδρὶ ἐμπορευομένῳ δευτέρους γάμους, οἷον ἄλλοις χρωμένῳ γάμοις παρὰ τοὺς ὑπάρχοντας. 30

---

2 ὑπηρετεῖσθαι Bi: em Schw. **5** s cf. ad p. 79, 25 **6** καὶ om V **6** s ἐνν. τῶν παίδων τὴν ἀπ. V **10** s προτεθεῖσθαι V **12** οὕτως Schw.: ὅτι VB **15** ἄρ' ἄδηλά εἰσι V καὶ om B **18** κοινῶν κατ' ἀνθρ. κακῶν Wil.: κοινῶν ἀνθρώπων V: κακῶν ἀνθρ. B παρεγχειρεῖ V **19** τε Dindorf: γε VB **20** ἀληθεύουσα om V **21** ἑτοιμόδακρυς ἢ om B **22** s ἐδάκρυσε—δρᾶν B: ἐδάκρυσεν ὑπομνησθεῖσα τῆσ πράξεωσ V **23** ᾤετο B: ὡσ τὸ V **24** οἰκτείρασαν V τὰ παιδία B τοῦ πατρὸσ ἐστερῆσθαι B post πατρὸς exh. V: ἐδάκρυσε δὲ ἀλγοῦσα (22) — δρᾶν (23) **27** post δακρύων secuntur in V: ἄλλωσ ὁ χορὸσ φησὶ τῆσ πρὸσ τὸν — γέγονα δακρύων **27** cf. Hesych. χλωρόν ὑγρόν ⟨ ⟩ Wil. **28** *l* om B πέφυκε — **30** ὑπάρχοντασ post ὠνουμένου (p. 79, 7) sine lemmate inser. B **29** χαλεπὴν V: δυσμενῶσ B ἐμπ. δευτ. γ. V: ἕτερον ὥσπερ εἰπεῖν ἐμπορευομένωι καὶ περιποιουμένωι γάμον ἑαυτῶι B

ABV LP

γάμους παρεμπολῶντι †ἀλλοίους πόσει. 910
ἀλλ' ἐς τὸ λῷον σὸν μεθέστηκεν κέαρ,
ἔγνως δὲ τὴν νικῶσαν, ἀλλὰ τῷ χρόνῳ,
βουλήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.
ὑμῖν δέ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
πολλὴν ἔθηκε σὺν θεοῖς σωτηρίαν· 915
οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι.
ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται
πατήρ τε καὶ θεῶν ὅστις ἐστὶν εὐμενής·
ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος 920
μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
στρέψασα λευκὴν ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;

ΜΗ. οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι. 925

ΙΑ. θάρσει νυν· εὖ γὰρ τῶνδ' ἐγὼ θήσω πέρι.

ΜΗ. δράσω τάδ'· οὔτοι σοῖς ἀπιστήσω λόγοις·
γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.

ΙΑ. τί δή, τάλαινα, τοῖσδ' ἐπιστένεις τέκνοις;

---

910 γάμου V[1] a. corr. παρεμπολῶντοσ ll.: em Heimsoeth: παρεμπολῶντας Tyrrell ἀλλοίου V[1]: em V[3] δευτέρους πόσει Heimsoeth πόσεις Tyrrell. cf. Σ **911** καθέστηκεν A **912** τε Wecklein ἁ. νῦν χρ. AV[1] σὺν Wecklein **913** deleuerit Lenting **915** σωτηρίαν LP: προμηθίαν AVB **918** τἄλλα P: τἆλλα L: τἄλλα rell. **922** αὐτὴ ll. praeter A[1] **923** om Wil. **924** del Lenting **926—928** post 931 transposuit Ladewig, solum 928 Burges **926** νύν P: νῦν rell.: em Barnes τῶνδ' ἐγὼ θήσω (θήσομαι B[2]) πέρι AVL: νῦν τ. ἐ. θ. π. P: τ. θ. π. D: τ. νῦν θ. π. B: τῶνδ' ἐγὼ θήσω πότμον Wecklein **927** οὔτι LP: οὐδὲ Wecklein **928** θῆλυς A **929** τί δῆτα λίαν LP τοῖσ A[1] a. corr.: σοῖσ B

Schol. **910** | VB γάμους παρεμπολῶντος: πιθανῶς κέχρηται τῇ τροπικῇ λέξει, ἐμφαίνων ἑαυτὸν κέρδους ἕνεκα καὶ τοῦ τοὺς ἐκ Μηδείας παῖδας ὠφελῆσαι τοῦτον ὥσπερ πραγματευσάμενον ἑαυτῷ τὸν γάμον. τὸ γὰρ παρεμπολᾶν ἐπὶ τοῦ κερδαίνειν τίθεται. οἷον ἄλλοις γάμοις χρωμένου

παρὰ τοὺς ὑπάρχοντας. | VB ἄλλως: προσκτωμένου πορίζοντος. 5
ἀντὶ τοῦ ἐμπολῶντι, γενικὴ ἀντὶ δοτικῆς. ἢ τὸ πόσει ἀντὶ τοῦ
πόσιος, δοτικὴ ἀντὶ γενικῆς. παρεμπολῶντος δὲ ἀντὶ τοῦ ὠνουμένου.
τουτέστιν· ἄλλοις γάμοις χρωμένου. τοῦ ἀνδρός. ἰδίως δὲ εἴρηκε πόσει
ἀντὶ τοῦ πόσιος. οἱ δὲ ὑποκριταὶ ἀγνοήσαντες γράφουσιν ἀντὶ τοῦ πόσει
ἐμοῦ, ὅπερ οὐ δεῖ. **911** | Bε μεταβέβληται. **912** | VB ἀλλὰ 10
τῷ χρόνῳ: ἀλλὰ νῦν ὥσπερ ἐκ μετανοίας τὸ κάλλιστον αὐτῇ βουλεύῃ. |
VB ἔγνως δὲ τὴν νικῶσαν: τὸ ἑξῆς· ἔγνως δὲ τῷ χρόνῳ τὴν νικῶσαν
βουλήν. ὁ ἀλλά ἀντὶ τοῦ καί, τουτέστιν· τὴν νικῶσαν βουλὴν καὶ
τῷ χρόνῳ ἔγνως. λέγει δὲ τὸ πεπαῦσθαι αὐτὴν τῆς πρὸς αὐτὸν ὀργῆς. |
Bi τὴν κρατοῦσαν τὴν συμφέρουσαν. **917** | VB τὰ πρῶτ' ἔσεσθαι: 15
ἀντὶ τοῦ· τὰ πρωτεῖα ἀπενέγκασθαι καὶ βασιλεύσειν κατὰ τὴν Κορινθίαν
ἅμα τοῖς ἐκ Γλαύκης τικτομένοις ὑμῖν ἀδελφοῖς. τὸ δὲ ἔτι κατ' ἐπίτασιν,
οἷον· ἔτι μᾶλλον ὑμᾶς διαπρέψειν συναπτομένους βασιλικῷ γένει ἢ ὅσης
ὑμῖν ἀξίας μετῆν ἐξ ἐμοῦ μόνου. **920** | Bi τὸ τέλειον τῆς ἡλικίας.
921 | Bε κρείττους. **922** | VB αὕτη, τί χλωροῖς: πάλιν εἰς 20
τὴν αὐτὴν ἔννοιαν ταῦτα. ἔδει δὲ αὐτὴν μηδὲ κλαίουσαν εἰσάγεσθαι· οὐ
γὰρ οἰκεῖον τῷ προσώπῳ [[τοῦτο]]· ὠμὸν γὰρ εἰσῆκται τοῦτο. ἀλλ' ἐκφέρεται
τῇ ὀχλικῇ φαντασίᾳ ποιήσας κλαίουσαν καὶ συμπάσχουσαν. ἀπιθάνως γὰρ
τὴν τοιαύτην διαχειριζομένην τὰ τέκνα εἰσάγει. ἄμεινον δὲ Ὅμηρος [τ 211]·
'ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν'. **925** | VB οὐδὲν τέκνων: δι' 25
οὐδέν, φησί, δακρύω ἕτερον ἢ ἐννοουμένη πῶς ἕξουσι τύχης οἱ παῖδες ἐμοῦ
ἀναχωρησάσης. **927** | VBi δράσω τάδε: ἀντὶ τοῦ· παύσομαι τῶν
δακρύων καὶ θαρσήσω σοι. **928** | V τὸ ἑξῆς· γυνὴ δὲ θῆλυ ἔφυ καὶ ἐπὶ
δακρύοις ἔφυ, ὅ ἐστι ἐπὶ τῷ δακρύειν καὶ ὀλοφύρασθαι. **928** | VB γυνὴ
δὲ θῆλυ: ἀντὶ τοῦ· ἀσθενὲς τὸ γυναικεῖον γένος πέφυκε πρὸς τὰς κατα- 30
λαμβανούσας συμφορὰς καὶ ἕτοιμον εἰς δάκρυα.

---

2 ἐκφαίνων B τοῦ om V **3** ὠφελήσειν B ὥσπερ Schw.: ὡσ VB τὸν om V **4** τίθεσθαι V χρωμένου B: ἐμπορευομένῳ V **5—10** (δεῖ) scholio praecedenti adi. B om. ἄλλως — δοτικῆς **5** προσκτωμένοισ V **6** τὸ B: τῶ V **8** τουτέστιν — ἀνδρός om B, qui hic habet Σ 909 δὲ V: οὖν B **9** πόσεωσ B **10**s *l* om V cum **12**ss coniunxit B, post ὀργῆς (14) exh. V **11** ἀλλὰ νῦν ὥσπερ B: ὥσπερ δὲ V αὐτῇ βουλεύει τὸ ἐξέγνωσ δὲ τῶ χρόνῳ V **12** *l* om B τὸ δὲ ἑξῆσ ἔγνωσ δὲ τῶι χρόνωι τὴν B: ἔγνωσ spat. τὴν V **13** ὁ δὲ B **13**s τὴν — ἔγνως Schw.: καὶ τὴν ν. β. τῶ χρόνω ἔγ. V: καὶ τὴν ν. β. ἔγνωσ τῶι χρόνωι B **14** αὐτὸν V **16** ἀντὶ τοῦ om B βασιλεύειν V κατὰ τὴν κορ. V: κορίνθου B **17** ἡμῖν V **18** ἔτι V: ἔπι B διαθρέψειν V **19** με τῆσ V **20** *l* om B **22** τούτω V: [[ ]] Schw. **25** *l* om B initio scholii iterum habet V: τοῦτο ἠρέμα (p. 77, 6) — κακῶν (p. 77, 7) οὐδὲν γὰρ V **26** ἢ om B δὲ πῶσ B οἱ π. ἕξ. τύχ. V **26**s ἀναχ. ἐμοῦ B **27** πεπαύσομαι Bi **28** θαρρήσω Bi **28**s scholio praecedenti adi. V **28** τὸ δὲ V **29** quidni ὀλοφύρεσθαι ? **30** ἀσθενέσ φησι B πέφ. γέν. B

ABV LP

ΜΗ. ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξηύχου τέκνα, 930
ἐσῆλθέ μ' οἶκτος εἰ γενήσεται τάδε.
ἀλλ' ὧνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ,
κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς, 935
μήτ' ἐμποδὼν σοὶ μήτε κοιράνοις χθονὸς
ναίειν, δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις,
ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ,
παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερί,
αἰτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα. 940

ΙΑ. οὐκ οἶδ' ἂν εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή.

ΜΗ. σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
γυναῖκα παῖδας τήνδε μὴ φεύγειν χθόνα.

ΙΑ. μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ.

ΜΗ. εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία. 945
συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·
πέμψω γὰρ αὐτῇ δῶρ' ἃ καλλιστεύεται
τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγώ, πολύ,
λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον
παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν 950
κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
εὐδαιμονήσει δ' οὐχ ἓν ἀλλὰ μυρία,
ἀνδρός τ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου
κεκτημένη τε κόσμον ὅν ποθ' Ἥλιος
πατρὸς πατὴρ δίδωσιν ἐκγόνοισιν οἷς. 955
λάζυσθε φερνὰς τάσδε, παῖδες, ἐς χέρας
καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.

---

930 ἐξηύχουν ll.: em Scal. **933** τῶν δὲ νῦν Herwerden μεμνήσομαι u. l. A **934** ἀποστέλλειν L¹P **938** ἀπαροῦμεν Elmsley **939** παῖ-

δας Brunck ἐκτραφῶσιν A **942** δάμαρτα σὴν κέλευσον αἰτ. πάρος Prinz κέλευε συνδεῖσθαι πατρός Wecklein **943** del Barthold Wecklein **945** Medeae tribuunt VΣ: Iasoni rell. πολλῶν Nauck **949** eiecit Bothe δὲ A[1] καὶ πλόκον om A[1]: καὶ στέφοσ add. al. man. im πλόκον: στέφοσ LP **953** γ' LP: om B **955** πατὴρ πατρὸσ LP ἐκγόνοις ἔχειν (uel γέρας) Stadtmueller **956** ad φερνάς cf. etym. m. p. 790 χέρα V[1]B **957** τυράννων B **958** λέξεται Fr. W. Schmidt

---

Schol. **930** | VB ἔτικτον αὐτούς: σύγγνωθί μοι, φησί, δακρυούσῃ· ἔτικτον γὰρ αὐτούς. νῦν δὲ ὅτε ἐθάρσουν τοὺς παιδας τὸ ἀσφαλὲς ἕξειν τοῦ ζῆν εἰς τοῦτο παρελθόντας ἡλικίας καὶ τῆς ἐν βρέφεσιν ἐπισφαλοῦς ἀνατροφῆς ἀπαλλαγέντας καὶ λοιπὸν ἐσεμνυνόμην παῖδας ἐγγὺς ἡβῶντας ἔχειν, τότε δι' ἕτερον ἀγωνιῶ εἰ τὸ ἀσφαλὲς αὐτοῖς τῆς σωτηρίας 5 ὑπάρξει ὑπὸ μητρυιὰν γενομένοις. τοῦτο γὰρ ἐμφαίνει. **931** | VB εἰσῆλθέ μ' οἶκτος: ἐν γὰρ τῇ βραχείᾳ ἡλικίᾳ ἐν πλείονι ἐπισφαλείᾳ ζωῆς εἰσιν οἱ ἄνθρωποι. | B ἀγωνιῶ, φησίν, εἰ ζήσονται. **935** | B κἀμοὶ τάδ' ἐστὶ λῷστα: ἀντὶ τοῦ· καλῶς ἔχειν κρίνω μετὰ γνώμης ὑμῶν, σοῦ τε καὶ τοῦ Κρέοντος καὶ τῆς τούτου θυγατρός, οἰκεῖν τὴν Κόρινθον. 10 ἢ οὕτως· κἀμοὶ αὐτῇ συναρέσκει. **942** | VB σὺ δ' ἀλλὰ σήν: τὸ ἑξῆς· ἀλλὰ σὺ τὴν γυναῖκα κέλευσον αἰτήσασθαι τοῦτο παρὰ τοῦ πατρός, τὸ τοὺς παῖδας μὴ ἀπελαθῆναι τῆς Κορίνθου. **944** | B[i] προσδοκῶ. τὸ δὲ σφέ ἀντὶ τοῦ αὐτήν. **945** | VB εἴπερ γυναικῶν: ἀντὶ τοῦ τῶν φιλάνδρων, οἷον· εἴπερ φίλανδρός ἐστι, πάντα σοι πεισθήσεται ἡ 15 Γλαύκη. **947** | VB ἃ καλλιστεύεται: ἅπερ προτιμᾶται καὶ κάλλιστα νομίζεται τῶν νῦν δώρων παρὰ τοῖς ἀνθρώποις. τὸ δὲ πολύ πρὸς τὸ καλλιστεύεται. ἢ πολύ ἀντὶ τοῦ πάνυ. **950** | B παῖδας φέροντας: ἀλλ' ὅσον οὐδέπω, φησί, δεήσει τῶν θεραπόντων τινὰ ἅμα τοῖς παιδίοις ἀποκομίζειν τὰ δῶρα τῇ Γλαύκῃ. **955** | VB πατρὸς 20 πατήρ: ἤτοι ἀντὶ τοῦ γονεῦσιν, ἢ τοῖς ἑαυτοῦ μὲν ἐκγόνοις, τουτέστι παισίν, ⟨ἐμαυτῆς δὲ γονεῦσιν⟩, ἵνα τοῦτο λείπῃ. **956** | VB φερνάς: φερνὴ ἡ προίξ. λάβετε, φησί, τὴν ἐμὴν φερνήν, ἣν εἰσηνεγκάμην τῷ πατρὶ ὑμῶν, καὶ ἀποκομίζετε τῇ νύμφῃ. **958** | VB φέροντες· οὗτοι δῶρα: τοῦτο διπλῆν ἔχει τὴν ἔννοιαν, μίαν μέν, ἣν ὁ Ἰάσων ἐκδέχεται, ὅτι οὐκ 25 ἀπόβλητα αὐτῇ τὰ δῶρα, ἀλλὰ θαυμαστά· ἑτέραν δέ, ἣν αὐτὴ κρύπτει, ἀντὶ τοῦ· οὐ γελάσει τὸ δῶρον ὡς ἀσθενές· ἀναιρήσει γὰρ αὐτήν.

---

3 ἔχειν B τοῦτο γὰρ V **4** ἐγγὺς om B **5** εἰ B e corr.: εἰσ V: B a. corr. **6** γινομένοισ B **7** ἐπισφαλείᾳ tempt. Schw.: δειλία V: ἀδείαι B **11 s** τὸ ἑξῆς om V **12** σὺ om B σήν? **15** τῶν om B σοι scholiasta, quasi a Medea dicta sint, nisi μοι scrib. **15 s** ἡ Γλ. om B **20 s** *l* B: παῖδασ φέροντασ *l* V **21** ἢ τοῖσ αὐτοῦ γ. V ἐγγόνοισ B **22** ⟨ ⟩ Schw. *l* om B φερνή τισ ἐστιν B **23** φερνὰν V εἰσηνέγκαμεν V **24** *l* om B

ABV LP

ΙΑ. τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων, 960
δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου τάδε.
εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.
ΜΗ. μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·
χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς. 965
κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός,
νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς
ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
ἀλλ' ὦ τέκν', εἰσελθόντε πλουσίους δόμους
πατρὸς νέαν γυναῖκα, δεσπότιν δ' ἐμήν, 970
ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φεύγειν χθόνα,
κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,
ἐς χεῖρ' ἐκείνης δῶρα δέξασθαι τάδε.
ἴθ' ὡς τάχιστα· μητρὶ δ' ὧν ἐρᾷ τυχεῖν
εὐάγγελοι γένοισθε πράξαντες καλῶς. 975
ΧΟ. νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζόας, στρ.
οὐκέτι· στείχουσι γὰρ ἐς φόνον ἤδη.
δέξεται νύμφα χρυσέων ἀναδεσμῶν
δέξεται δύστανος ἄταν·
ξανθᾷ δ' ἀμφὶ κόμᾳ θήσει τὸν Ἅιδα 980
κόσμον αὐτὰ χεροῖν [[λαβοῦσα]].
πείσει χάρις ἀμβροσίους τ' αὐγὰς πέπλων ἀντ.
χρυσότευκτόν ⟨τε⟩ στέφανον περιθέσθαι·
νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει. 985
τοῖον εἰς ἕρκος πεσεῖται

---

960 βασιλείων PV^{3}: βασιλικὸν Wunder **963** ἐγώ: ὅτι L **964** ἔπος uel φάτις Sybel **966** ἄξει A **968** ψυχαῖσ V^{1} **969** εἰσελθόντεσ AV πλησίουσ $L^{1}P$ **970** τ' ll.: em Elmsley **971** φυγεῖν LP **972** φέροντεσ L **973** ἐκείνην $AV^{1}B$: ἐκείνῃ Wecklein **976** ζωᾶς ll.: em Porson **977** ἤδη: οἶδα L^{1} **978** ἀναδέσμων ll.: em Porson: ἀναδεσμᾶν Elmsley **979** δύστηνοσ AVB: ἁ δύστανοσ LP **980** ἀΐδα ll.: em Brunck **981** αὐτὴ AV: om B

[[ ]] Nauck: defendit Schroeder **983** ἀμβρόσιόσ τ' (τ' om V¹B) αὐγὰ ll.: em v. Arnim πέπλου P: V³ (sscr.) **984** χρυσεοτευκτὸν ll.: em Reiske: χρυσέων τ. Murray ⟨τε⟩ Elmsley Reiske **985** δ' om AV παρα- plerique νυμφοκοσμήσει A¹BLV³Σ

SCHOL. **962** | VB εἴπερ γὰρ ἡμᾶς: εἴπερ, φησί, τῷ ὄντι πᾶσα γυνὴ ἡμᾶς τοὺς ἄνδρας ἀξιοῖ τινὸς λόγου [[κρίνειν]], προτιμήσει καὶ χρημάτων τὸ πείθεσθαι τῷ ἀνδρί. ἢ ἰδίᾳ νοητέον καὶ ἐπὶ τῆς Γλαύκης, εἴπερ με τῷ ὄντι στέργει ἡ γυνή, καὶ ἄνευ τοῦ λαβεῖν τὰ δῶρα πεισθήσεται. **966** | VB κείνης ὁ δαίμων: ἀντὶ τοῦ ἡ εὐδαιμονία, τουτέστιν· 5 ἐκείνῃ καιρὸς εὐδαιμονεῖν, ἡμῖν δὲ ταῦτα οὐκ ᾠκείωται ὡς δυστυχοῦσιν. **967** | VB νέα τυραννεῖ: ἀντὶ τοῦ· ἡ Γλαύκη, φησί, νέα οὖσα τὴν ἡλικίαν ἄρχει καὶ κρατεῖ. αἰνιγματωδῶς δὲ τοῦτο, ὡς τοῦ Ἰάσονος διὰ τὸ νέον τῆς ἡλικίας προτετιμηκότος τὴν Γλαύκην. **968** | VB ψυχῆς ἂν ἀλλαξαίμεθ': ἀντὶ τοῦ· ἑλοίμην ἂν καὶ ἀποθανεῖν ὑπὲρ τοῦ μὴ τοὺς 10 παῖδάς μου ἀπελαθῆναι. καὶ τοῦτο δὲ κατ' εἰρωνείαν. **972** | VB κόσμον διδόντες: καὶ τοῦτο ἀπιθάνως, τὸ παρεγγυᾶσθαι τοῖς παισὶν ἐντελλομένην ἐκείνῃ αὐτῇ διδόναι, ὑπόληψιν ἔχουσαν φαρμακίδος. | V τοῦδε γὰρ μάλιστα: ἕνεκεν τοῦδε, τοῦ μὴ φεύγειν ὑμᾶς, δεῖ αὐτὴν λαβεῖν τὰ δῶρα. **976** | V νῦν ἐλπίδες: ἐκ τοῦ ἀπελθεῖν τὰ δῶρα πείθεται ὁ 15 χορὸς ὅτι μέγα κακὸν γενήσεται ἐξ οὗ ἀναγκασθήσεται ἡ Μήδεια πάντως φονεῦσαι τὰ τέκνα. | VB παίδων ζωᾶς: ἀντὶ τοῦ· οὐκέτι μοι ἐλπίδες τοῦ ζήσεσθαι τοὺς παῖδας. **980** | VB θήσει τὸν Ἅιδα κόσμον: θάνατον, φησί, μᾶλλον περιθήσεται ἢ κόσμον. **982** | VB αὐγά: τὸ ἑξῆς· χάρις ἀμβρόσιός τε αὐγὰ πέπλων πείσει περιθέσθαι χροῒ χρυσότευκτον 20 στέφανον. | V ἀμβρόσιος: ἀντὶ τοῦ ἀμβροσία θεία. αὐγὴ δέ, ἡ λαμπηδών, [[τοῦ χρυσέου στεφάνου καὶ]] τῶν πέπλων πείσει αὐτὴν ταῖς ἰδίαις χερσὶ λαβοῦσαν περιθέσθαι ταῦτα, ἵνα ⟨ἐν⟩ τῇ τοῦ παντὸς σώματος διακοσμήσει καὶ ἡ κεφαλὴ πρὸς ἀξίαν κοσμῆται. **985** | VB νερτέροις ἤδη: ἀντὶ τοῦ· παρὰ τοῖς νερτέροις καὶ τοῖς κατοιχομένοις αὐτὴν κοσμήσει 25 ταῦτα τὰ δῶρα. νυμφοκοσμῆσαι δέ ἐστι τὸ τὴν νύμφην κοσμῆσαι. νυμφοκοσμήσει οὖν ἀντὶ τοῦ νυμφευθήσεται. **986** | Bi τὸν ἄφυκτον ὄλεθρόν φησιν.

---

2 λόγου τινὸσ B [[ ]] Schw. **6** ἡμῖν — δυστυχοῦσαν om B **8** ἐπιπληκτικῶσ B διὰ om V **11** μου ἀπελασθῆναι V: ἀπελαθῆναι μου B **12** πιθανῶσ VB: em Schw. **13** ἔχουσα VB **17 s** cum praecedentibus coniunxit V **17** ἀντὶ τοῦ om V μοι εἰσὶν V **18** ζ. τὰ τέκνα V: σώιζεσθαι τοὺσ παῖδασ B **19** *l* om B **19 s** αὐγὰ — πέπλων Schw.: αὐτὴ χεροῖν λαβοῦσα: αὐτὰ χάρισ ἀμβρόσιόσ τε αὐγὰ πέπλων V: αὐτὰ πέπλων: τὸ ἑξῆσ αὐτὰ χάρισ ἀμβρόσιοσ πέπλων B **21—24** praecedenti applicauit Σ V **21** ἀμβρόσιοσ δὲ V αὐτὴ V: em Schw. **22** [[ ]] Schw. **23** ⟨ ⟩ Schw. **24** κεκόσμηται V: em Schw. **24 s** *l* om B

ABV LP

καὶ μοῖραν θανάτου δύστανος· ἄταν δ'
οὐχ ὑπεκφεύξεται.
σὺ δ', ὦ τάλαν, ὦ κακόνυμφε   στρ.   990
κηδεμὼν τυράννων,
παισὶν οὐ κατειδὼς
ὄλεθρον βιοτᾷ προσάγεις, ἀλόχῳ τε σᾷ στυγερὸν
θάνατον.
δύστανε μοίρας, ὅσον παροίχῃ.   995
μεταστένομαι δὲ σὸν ἄλγος,   ἀντ.
ὦ τάλαινα παίδων
μᾶτερ, ἃ φονεύσεις
τέκνα νυμφιδίων ἕνεκεν λεχέων, ἅ σοι προλιπὼν
ἀνόμως   1000
ἄλλᾳ ξυνοικεῖ πόσις συνεύνῳ.

ΠΑΙ. δέσποιν', ἀφεῖνται παῖδες οἵδε σοὶ φυγῆς,
καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
ἔα.
τί συγχυθεῖσ' ἕστηκας ἡνίκ' εὐτυχεῖς;   1005
[[τί σὴν ἔστρεψας ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;]]

ΜΗ. αἰαῖ.

ΠΑΙ. τάδ' οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.

ΜΗ. αἰαῖ μάλ' αὖθις. ΠΑΙ. μῶν τιν' ἀγγέλλων τύχην
οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου;   1010

---

988 ὑπεφεύξεται P: ὑπερφεύξεται AVB   **993** ὀλέθριον ll. praeter L βιοτὰν ll. praeter B[1]V[3]Σ   **994** στ. θ. στυγερᾷ στυγερόν A   **995** δύστανε, μοίρας alii   παροίχει ll.   **998** φονεύεισ V   **999** εἵνεκε V   **1001** ἄλλῃ ll.: em Matthiae   **1002** πρε. tribuerunt ll. praeter VLP   **1005. 1009. 1012** eqs πρε. nota insigniti in AB, solus ut uidetur **1005** in V   **1005** ἔα Medeae tribuunt ll.: paed. Kirchhoff   **1006** e **923** confictum censuit Valckenaer   ἔτρεψασ B   **1007** del Nauck. cf. 924   **1008** αἶ αἶ BP: αἲ αἲ L: αἶ αἶ αἶ αἶ V: αἶ αἶ αἶ A   **1009** αἶ αἶ ll. praeter L (αἲ αἲ) ἀγγέλων V: ἀγγέλω LP   **1010** δ' om V[1]

Schol. **990** | VB σὺ δ', ὦ τάλαν: τοῦτο πρὸς τὸν Ἰάσονα ἀποτείνει. κηδεμὼν δὲ παρὰ τὸ κῆδος, ἀντὶ τοῦ γαμβρέ. σὺ δέ, φησίν, ὦ ἐπ' ὀλέθρῳ γενόμενε νυμφίε τῆς Γλαύκης καὶ ἐπιγαμβρίαν οὐκ εὐτυχῆ ταύτην πρὸς τοὺς βασιλεῖς ἐσχηκώς, ὄλεθρον τοῖς αὐτοῦ παισὶ καὶ τῇ νύμφῃ κατασκευάζεις, οὐ συνεὶς τὸ ἐπ' ὀλέθρῳ μηχάνημα. βιοτᾷ δὲ 5 παισίν, ἀντὶ τοῦ τῇ ζωῇ τῶν παίδων. | B[i] ἀντὶ τοῦ· ὦ ἐπὶ κακῷ σου νυμφευσάμενε. **991** | B[i] οὐ γινώσκων τῇ τῶν παίδων βιοτῇ ὄλεθρον προσάγεις. **995** | VB μοίρας ὅσον παροίχῃ: μοίρας ἀντὶ τοῦ πρέποντος. καὶ τοῦτο δὲ πρὸς Ἰάσονα ἀποτείνει. τινὲς δὲ πρὸς τὴν Μήδειαν· ἵνα φονεύσῃς τὰ παιδία σοῦ. τὸ δὲ παροίχῃ, παρελθεῖν πεποίηκας, ὦ 10 Ἰᾶσον, πολὺ μέρος τῆς θανατηφόρου μοίρας τῇ Γλαύκῃ ὡς ἐγγὺς εἶναι τὸν θάνατον αὐτῆς, ἀντὶ τοῦ· τὸν καιρὸν τοῦ θανάτου τῇ Γλαύκῃ συνήγαγες καὶ πλησίον εἶναι πεποίηκας, συγχωρήσας ὑπ' ἀγνοίας ἀποκομισθῆναι τὰ δῶρα. μοίρας δὲ τῆς θανατηφόρου φησίν. τὸ δὲ ὅσον ἀντὶ τοῦ πολύ. | V ἄλλως: ὦ ταλαίπωρε Ἰᾶσον, ὅσον ἐκπέπτωκας τῆς 15 εὐμοιρίας. ἢ οὕτως· ὅσον τοῦ καθήκοντος ἐξέδραμες ὡς μὴ συνιέναι ὅτι ἐπὶ φόνον τὰ τέκνα σου ἄγεις. **996** | VB μεταστένομαι δέ: ἡ μετά ἀντὶ τῆς ἐπί καὶ τὸ σόν ἀντὶ τοῦ σοί, τουτέστι· στένω δὲ καὶ ἐπὶ σοὶ καὶ ἄλγος ἔχω. ἢ οὕτως· μεθίσταμαι δὲ καὶ ἐπὶ τὸ σὸν ἄλγος καὶ στένω τὴν σὴν τύχην, ἐφ' ᾗ τὴν ψυχὴν ἀλγεῖς. λέγει δὲ τὸ διημαρτηκέναι 20 αὐτὴν τοῦ Ἰάσονος. **1002** | VB[i] δέσποιν', ἀφεῖνται παῖδες: ὁ παιδαγωγὸς ἀγαγὼν τοὺς παῖδας διαλεχθέντας τῇ Γλαύκῃ λέγει· συγκεχώρηται τοῖς παισί σου ἐνταῦθα μεῖναι καὶ μὴ ἀπελαθῆναι. **1005** | Bg συνταραχθεῖσα. **1008** | Bg οὐ σύμφωνα. **1009** | VB μῶν τιν' ἀγγέλλων: ἡ μὲν Μήδεια ἐννοουμένη τὸν δι' αὐτῆς ἐσόμενον τοῖς παισὶν 25 αὐτῆς θάνατον ἐστύγναζεν, ὁ δὲ παιδαγωγὸς νομίζων αὐτὴν ἐφ' οἷς ἀπήγγειλε λυπεῖσθαί φησιν· ἆρ' οὖν μὴ οὐ χρηστά σοι ἀπήγγειλα, ἀλλὰ ἐσφάλην, νομίσας εὐαγγελίσασθαι πρὸς σὲ ταῦτα. | Bg συμφοράν. **1010** | Bg ὑπολήψεως.

---

5 βιοτὰν V: -τᾶν B **8** *l* om B μοίρασ ἀντὶ V: τοῦτἔστι B **9** ἰάσονα B: αὐτὸν V τινὲς Schw.: τί VB **10** ⟨ὅσον μοίρας παροίχῃ,⟩ ἵνα ex. gr. suppl. Schw. τέκνα B **11** πολυμερῶσ V **12** ἀντὶ τοῦ Schw.: ἀφ' οὗ VB **14** τὰσ θανατηφόρουσ μοίρασ V **16** ἐξέδραμε V **17** *l* om B **18** τοσόν μοι τουτέστι B (om cett.) **19** ἢ οὕτως om B τὸν V **21** αὐτὴν om B τῶν V *l* om B **22** ὁ — λέγει V: ἀντὶ τοῦ B[i] **23** adi. B[i]: ὁ παιδαγωγὸσ δέ ἐστιν ἐνεγκὼν τοὺσ παῖδασ ἤδη διαλεχθέντασ πρὸσ τὴν γλαύκην **25** ἐννοοῦσα B **25** s δι' — ἐστύγναζεν V: ὅσον οὐδέπω μέλλοντα δι' αὐτὴν ἔσεσθαι φόνον τοῖσ παισὶν εἱστήκει κατεστυγνασμένη B **26** θάνατον Schw.: θ. φόνον V ἐνόμιζεν B **27** φησὶ post οὖν coll. B ἀλλὰ V: καὶ B **28** πρὸσ δὲ ταῦτα B: προσέτα sscr. ττ V

ABV LP

ΜΗ. ἤγγειλας οἷ' ἤγγειλας· οὐ σὲ μέμφομαι.
ΠΑΙ. τί δαὶ κατηφεῖς ὄμμα καὶ δακρυρροεῖς;
ΜΗ. πολλή μ' ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ
κἀγὼ κακῶς φρονοῦσ' ἐμηχανησάμην.
ΠΑΙ. θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι. 1015
ΜΗ. ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν' ἐγώ.
ΠΑΙ. οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων.
κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
ΜΗ. δράσω τάδ'· ἀλλὰ βαῖνε δωμάτων ἔσω
καὶ παισὶ πόρσυν' οἷα χρὴ καθ' ἡμέραν. 1020
ὦ τέκνα τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ', ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ
οἰκήσετ' αἰεὶ μητρὸς ἐστερημένοι·
ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγάς,
πρὶν σφῷν ὄνασθαι κἀπιδεῖν εὐδαίμονας, 1025
πρὶν λέκτρα καὶ γυναῖκα καὶ γαμηλίους
εὐνὰς ἀγῆλαι λαμπάδας τ' ἀνασχεθεῖν.

1011 οἷον V[1] **1012** δὲ VP[1]: δὴ P[3]: δ' αὖ Christ. pat. 731 κατηφὲς Cobet Wecklein. sed cf. Hom. X 293 π 342 σοῦ δακρυρροεῖ Wecklein **1013** πολλή 'στ' Wecklein **1015** κάτει Porson: κρατεῖσ ll. cum Σ **1017** τῶνδ' A **1018** δεῖ A **1021** ἔστιν ἡ π. A **1023** ἀεὶ ll. praeter BLP **1026** λουτρὰ Burges λέκτρα πορσῦναί τε Kaibel **1026** s λέκτρ' ἀγῆλαι ceteris deletis Bothe **1027** ἀνασχέθειν ll. praeter AV[1] post 1027 unius uersus spatium uacuum in A

SCHOL. **1012** | Bi κατηφὲς ποιεῖς καὶ καταστυγνάζεις. **1013** | VB πολλή μ' ἀνάγκη: διπλῆ πάλιν ἡ ἔννοια, ὡς μὲν πρὸς τὸν πρέσβυν ὅτι χωρὶς τῶν τέκνων φεύξεται καὶ καταλείψει αὐτά, ὡς δὲ πρὸς τὴν ἀλήθειαν ὅτι φονεύσει αὐτά. | VB πολλή μ' ἀνάγκη: λείπει τὸ ὀδύρεσθαι· ἀνάγκη, φησί, πολλή μοι ὀδύρεσθαι ἐπὶ τοῖς παροῦσι 5 κακοῖς. ὑπό τε γὰρ τῆς ἐμῆς ἀνοίας καὶ τοῦ παρὰ τῶν θεῶν χόλου τὰ κατ' ἐμὲ κακῶς διάκειται. ταῦτα δὲ λέγει προπέτειαν ἑαυτῆς καταγινώσκουσα. κατεμέμψατο ἑαυτῇ ἐπὶ τῇ τῶν δώρων ἀποστολῇ. εἰ γὰρ ἔμελλεν ἀποθανεῖν ἡ Γλαύκη, ἀνάγκη ἦν φονεῦσαι τὴν Μήδειαν τὰ ἑαυτῆς τέκνα, ἵνα μὴ ὑπὸ ἄλλων τοῦτο γένηται· ὅπερ αὐτὴ ἐλυπεῖτο μετα- 10 νοοῦσα, αὐτὸς δὲ ᾤετο αὐτὴν ὀδύρεσθαι, ὅτι φυγὰς ἔμελλε γίνεσθαι. **1015** | VB θάρσει· κρατεῖς: ἔτι θαρσεῖν ὀφείλεις. καὶ γὰρ εἰ φεύγειν

μέλλεις, ἀλλ' οὖν τῇ τῶν παίδων ὑποστάσει καὶ ζωῇ πάλιν συμβιώσῃ. τὸ γὰρ ἔτι τὸ μέλλον δηλοῖ. τὸ δὲ κρατεῖς ἀντὶ τοῦ νενίκηκας. **1016** | VB ἄλλους κατάξω: τὸν ἐσόμενον τῶν παίδων φόνον πάλιν 15 προοδύρεται, ἀσήμως δέ, ὑπὲρ τοῦ μὴ συνιέναι τὸν παιδαγωγόν. τὸ μὲν οὖν ἄλλους ἀντὶ τοῦ τούτους, τὸ δὲ κατάξω ἀντὶ τοῦ εἰς Ἅιδου πέμψω. **1017** | VB οὗτοι μόνη σύ: ἡ μὲν ἔλεγεν ὅτι πρὶν εὐτυχῆσαι ὑπ' αὐτῶν, ἀλλοτρίους μου γενομένους τοὺς παῖδας πέμψω εἰς Ἅιδην· ὁ δὲ πρέσβυς τὸ κατάξω νοεῖ ὅτι πέμψω πρὸς τὸν Ἰάσονα ἠλλοτριωμένους μου τοὺς 20 παῖδας. **1018** | VB[i] κούφως φέρειν χρή: πάλιν οὐδὲν ἧττον μὴ συνεὶς τὸ εἰρημένον οἴεται αὐτὴν ὀδύρεσθαι τὴν ἑαυτῆς ἐξορίαν. **1021** | VB ὦ τέκνα τέκνα, σφῷν μὲν ἔστι: τοῦ σφῷν τὸ πλῆρες σφῶιν, τουτέστιν ὑμῶν τῶν δύο. τὴν μὲν πόλιν, φησίν, τήνδε ὑμεῖς οἰκήσετε, ὦ τέκνα, καὶ τὸν οἶκον τοῦτον δι' αἰῶνος. λέγει δὲ ἀσήμως τὸν Ἅιδην, καὶ πάντα δὲ 25 τὰ ἑξῆς αἰνιγματωδῶς ὁμιλεῖ ὑπὲρ τοῦ μὴ αἰσθέσθαι τὸν παιδαγωγόν. τὸ δὲ ἐν ᾧ πρὸς τὸ οἰκήσετε συναπτέον, τουτέστιν· ἐν ᾧ, τῷ Ἅιδῃ, οἰκήσετε ἀπολιπόντες ἐμέ. **1027** | VB εὐνὰς ἀγῆλαι: Φρύνιχος ἀγῆλαι ἀντὶ τοῦ εὔξασθαι. καὶ παρὰ Ἀριστοφάνει [Pac. 399]· 'διὰ παντός, ὦ δέσποιν', ἀγαλοῦμεν ἡμεῖς ἀεί'. καὶ Ἕρμιππος Ἀρτοπώλισι 30 [frg. 8]· 'φέρε νῦν ἀγήλω τοὺς θεοὺς ἰοῦσ' ἐγώ'. δηλοῖ καὶ τὸ τιμῆσαι. 'ἄγειν γὰρ τὸ τιμᾶν φασιν· 'ἐν πρώτοις ἄγω'. καὶ [Soph. OR 775] 'ἠγόμην δ' ἀνὴρ ἀστῶν μέγιστος τῶν ἐκεῖ'. | VB[i] ἀγῆλαι ἀντὶ τοῦ παρασκευάσαι καὶ συναγαγεῖν. ἀνασχεθεῖν δὲ ἀνατεῖναι. αὐθαδείας δὲ ἀπονοίας αὐταρεσκείας. 35

---

1 καταστενάζεισ B[i] **2** *l* om V διπλῆ — ἔννοια om B ὡσ B: ἡ V **3** πρεσβύτην B χωρὶς — καὶ om B **4** τὴν om B *l* om B **4—11** scholio superiori adiunxit B **5** λείπει δὲ B: διὰ V πολλή — ἐπὶ om B **6** κακοῖσ κλαίειν B γὰρ om V τῶν om B **8** καὶ ἐμέμψατο ἑαυ sscr. τ˜ V: em Schw.: om B **8**ss εἰ — τέκνα V: ἀνάγκη γὰρ εἰ ἔμελλεν ἡ γλαύκη ἀπόλλυσθαι καὶ αὐτῆσ τὰ τέκνα ὑπ' αὐτῆσ ἀναιρεῖσθαι B **10** ἄλλου B **10**s ὅπερ—μετανοοῦσα V: αὕτη μὲν οὖν ἐπὶ τούτῳ μετανοεῖ B **12** καὶ γὰρ εἰ καὶ B **12**s φεύγειν μέλλεισ B: φυ sscr. γ´ V **13** ἀλλ' οὖν om B πάλ. συμβ. V: ὅμωσ ἰσχὺν ἔχει τὰ κατὰ σὲ καὶ εὔελπισ εἶ τούτοισ πρὸσ τὸ μέλλον συμβιῶναι B **14** τὸ μέλλον δηλοῖ V: καὶ ἐπὶ τοῦ μέλλοντοσ κεῖται B δὲ V: οὖν B νενικηκώσ V: νενίκηκασ καὶ εὐτύχηκασ τὸ ὅσον ἐπὶ τοῖσ τέκνοισ καὶ εὔελπισ εἶ πρὸσ τὸ μέλλον B **17** δὲ om V ἀντὶ τοῦ om V πέμψω εἰσ τὸν ἅιδην B **18** *l* om V εὐτυχήσω V **19** μοῦ B: μὲν V τοὺς παῖδας om V τὸν ἅιδην B παιδαγωγὸσ B **20** ἐννοεῖ B ὅτι πέμψω V: ἀντὶ τοῦ ἀποπέμψω B τοὺσ ἀλλοτριωμ. μου π. V **21** sub finem add.: ἵν' ἦι τὸ ἄλλουσ ἀντὶ τοῦ ἀλλοτρίουσ B **27** ᾧ om B **28—33** cf. lex. Bachm. p. 11, 18s Suid. s. u. ἀγῆλαι etym. magn. p. 9, 52 **30** δέσποτ' Aristoph.: πότνια lex. Bachm. Suid. ἀρτοπώλιαι V **31** οἵουσ ἐγώ lex. Bachm. Suid.: ἰοῦσ' ἔσω B: εἴσω ἰοῦσ' V τιμῆσαι V **32** φησὶν V ἐν — **33** ἐκεῖ om B **32** ἄγω Dindorf: ἐγὼ V **33** μέγιστοι V **33**s ἐκεῖ ἢ ἀγῆλαι eqs V **34** ἀνασχέσθαι B[i]: em Schw. **34**s ἀνασχ.—αὐταρ. om V

ABV
LP

ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας.
ἄλλως ἄρ' ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην,
ἄλλως δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις, 1030
στερρὰς ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.
ἦ μήν ποθ' ἡ δύστηνος εἶχον ἐλπίδας
πολλὰς ἐν ὑμῖν γηροβοσκήσειν τ' ἐμὲ
καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
ζηλωτὸν ἀνθρώποισι· νῦν δ' ὄλωλε δὴ 1035
γλυκεῖα φροντίς. σφῷν γὰρ ἐστερημένη
λυπρὸν διάξω βίοτον ἀλγεινόν τ' ἐμοί.
ὑμεῖς δὲ μητέρ' οὐκέτ' ὄμμασιν φίλοις
ὄψεσθ', ἐς ἄλλο σχῆμ' ἀποστάντες βίου.
φεῦ φεῦ· τί προσδέρκεσθέ μ' ὄμμασιν, τέκνα; 1040
τί προσγελᾶτε τὸν πανύστατον γέλων;
αἰαῖ· τί δράσω; καρδία γὰρ οἴχεται,
γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς. 1045
τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
οὐ δῆτ' ἔγωγε. χαιρέτω βουλεύματα.
καίτοι τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους; 1050
τολμητέον τάδ'. ἀλλὰ τῆς ἐμῆς κάκης,
τὸ καὶ προσέσθαι μαλθακοὺς λόγους φρενί.
X χωρεῖτε παῖδες ἐς δόμους· ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,

1030 δ' eras. in L **1032** καὶ μὴν Wecklein **1035** δὴν V **1037** τ' ἐμοί ll.: τ' ἀεί uel τ' ἐγώ F. W. Schmidt: θ' ἅμα Wecklein **1040** προσδέρκεσθ' om μ' V: ἐμ' B^1 τέκνα LPB: φίλοισ rell.: sscr. L^3 **1042** αἶ αἶ (αἶ αἶ L) ll. **1043** τερπνὸν B **1046** με om A τούτων: τέκνων ci Prinz **1048** cf. Σ **1049** ὄφλειν ll. **1052** προέσθαι ll.: em Badham φρενόσ ll. praeter L^1P cum Σ **1054** δώμασιν ll. praeter L^1P

SCHOL. **1029** | Bg ματαίως. **1030** | VBi κατετάκην ἐφθάρην κατεπονήθην κατεσπαράχθην. **1034** | VgBg κρύφειν ἐνταφιάσειν. **1035** | VgBi μακαρίαν με οὖσαν παρὰ τοῖς ἀνθρώποις. **1039** | VB ἐς ἄλλο σχῆμ᾽: ἄλλου βίου λέγει τοῦ κατὰ τὸν Ἅιδην, ὡς κἂν τοῖς κατοιχομένοις οὔσης τινὸς ἑτέρας πολιτείας. **1043** | VB γυναῖκες, 5 ὄμμα φαιδρόν: πρὸς τὰς τοῦ χοροῦ λέγει· ἀπορῶ τί δεῖ ποιεῖν. θέλει δὲ εἰπεῖν ὅτι τὸν φόνον οὐκέτι μου ἡ ψυχὴ τολμᾷ, ἀλλὰ λύομαι ταῖς τῶν ὀφθαλμῶν χάρισιν, ἀτενιζόντων εἰς ἐμὲ τῶν φιλτάτων. **1044** | VB οὐκ ἂν δυναίμην: λείπει τὸ σφάξαι τὰ τέκνα. καὶ ἐρρέτω, φησίν, ὁ ἐπὶ τὸ σφάξαι με τὰ τέκνα κρατήσας λογισμός. **1046** | VB τί δεῖ με 10 πατέρα τῶνδε: ἀφίσταμαι, φησί, τοῦ φόνου τῶν παίδων. οὐ γὰρ ἵνα τὸν πατέρα τούτων λυπήσω τῷ φόνῳ αὐτῶν, ὀφείλω ἐμαυτῇ διπλασιοῦν τὰ κακά. λέγει δὲ τὴν λύπην τὴν ἐπὶ τοῖς παισίν. ἢ οὕτως· σαφῶς εὐηθές ἐστιν ἐργαζομένην με τὸν θάνατον τοῖς φιλτάτοις ἐπὶ τῷ τὸν πατέρα λυπῆσαι, αὐτὴν διπλασίαν λύπην κτήσασθαι διὰ τῆς τούτων τελευτῆς. 15 δοκοῦσι γὰρ αἱ μητέρες συμπαθέστεραι εἶναι ταῖς τῶν παίδων συμφοραῖς. θαυμάσαι δέ ἐστι τὸν ὑπερβάλλοντα θυμόν, ὃν ἔχει κατὰ τοῦ Ἰάσονος ἡ Μήδεια, ὅτι καίπερ προσδοκῶσα μειζόνως λυπηθήσεσθαι, ὅμως ὑπὲρ τοῦ λυπῆσαι τὸν Ἰάσονα αἱρεῖται τούτους φονεύειν. **1048** | VB χαιρέτω βουλεύματα: ἔτι ἐν μετανοίᾳ ἐστίν· οὐκ ἂν ἐγὼ φονεύσαιμι, φησίν, 20 ἀλλὰ μεθείσθω μοι ὁ κρατήσας με τοῦ φόνου λογισμός. γράφεται δὲ καὶ παύσομαι βουλευμάτων. **1049** | VB καίτοι τί πάσχω: ἐνταῦθα ὥσπερ ἀναζωπυροῦσα τὸν κατὰ Ἰάσονος θυμὸν λαμβάνεται ἑαυτῆς καί φησι· τί δὴ πέπονθα εἰς οἶκτον ἐμπεσοῦσα τῶν παίδων; οὐ γὰρ ἐμὸν καταισχύνειν ἐμαυτὴν ἀφεῖσαν ἀτιμώρητον τὸν πάντων ἐμοὶ πολεμιώτατον 25 Ἰάσονα, ἐξὸν φονεύουσαν τούτους λυπῆσαι τοῦτον. ἐχθρούς οὖν λέγει ἀντὶ τοῦ ἐχθρόν, τὸν Ἰάσονα. τοιοῦτον δὲ καὶ τὸ παρ᾽ Ὁμήρῳ [Λ 407]· ʻἀλλὰ τίη μοι ταῦτα φίλος᾽. **1052** | V τὸ καὶ προέσθαι μαλθακούς: τὸ ἐνδοῦναι τῇ φρενί μου μαλθακοὺς λόγους. **1053** | VB ὅτῳ δὲ μὴ θέμις παρεῖναι: ᾧτινι δὲ οὐκ εὐσεβές, φησίν, φαίνεται τὸ 30 παρεῖναι τῷ φόνῳ τούτῳ καὶ δέχεσθαι τοιαύτας θυσίας, οὗτος ἀπίτω. τοῦτο δὲ εἶπεν ὡς ὄντων τινῶν θεῶν χαιρόντων ἀνδροφονίαις, οἷον Ἐρινύων, Ἄρεως καί τινων ἑτέρων. Ὅμηρος [E 31. 455]· ʻἎρες Ἄρες βροτολοιγὲ μιαιφόνε᾽. τῷ δὲ αὐτῷ μελήσει συναπτέον τὸ μὴ παρεῖναι.

---

2 κατεσπαράχθην om Bi **3** s *l* om B **4** κἂν B: καὶ V **5** τινὸς om V **5** s *l* om B **6** ἀπορῶ—ποιεῖν om B **8** s *l* om B **9** τὸ V: τῶι B **10** s *l* om B **12** φόνῳ V: θανάτωι B **13** ἢ—**15** τελευτῆς om V **16** περιπαθέστεραι B ἐν ταῖσ B **19** s *l* om B **20** φησίν om B **21** μεθείσθω μοι B: χαιρέτω V με om B **21** s γράφεται—βουλευμάτων om V **22** *l* om B **23** τῶι κατὰ τοῦ ἰάσονοσ θυμῶι B **26** ἐξὸν—**28** φίλος om V **29** s *l* om B **30** φησιν οὐκ εὐσεβὲσ B τὸ om B **32** τινῶν om V ἀνδροφονίαι B οἷον om V **33** τινων om V **33** s Ὅμ.—παρεῖναι om V

ABV LP

αὐτῷ μελήσει· χεῖρα δ' οὐ διαφθερῶ. 1055
ἆ ἆ.
μὴ δῆτα, θυμέ, μή ποτ' ἐργάσῃ τάδε·
ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
ἐκεῖ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί σε.
μὰ τοὺς παρ' Ἅιδῃ νερτέρους ἀλάστορας,
οὔτοι ποτ' ἔσται τοῦθ' ὅπως ἐχθροῖς ἐγὼ 1060
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
[[πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.]]
πάντως πέπρακται ταῦτα κοὐκ ἐκφεύξεται.
καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισι δὲ 1065
νύμφη τύραννος ὄλλυται, σάφ' οἶδ' ἐγώ.
ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδόν,
καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι.
παῖδας προσειπεῖν βούλομαι. δότ', ὦ τέκνα,
δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα. 1070
ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι κάρα
καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
εὐδαιμονοῖτον — ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε
πατὴρ ἀφείλετ'. ὦ γλυκεῖα προσβολή,
ὦ μαλθακὸς χρὼς πνεῦμά θ' ἥδιστον τέκνων. 1075
χωρεῖτε χωρεῖτ'· οὐ γάρ εἰμι προσβλέπειν
οἵα τ' ἔθ' ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.

1056 ἆ ἆ sscr. ὦ ὦ A μὴ σύ γ' LP θυμὲ θυμέ, μὴ ἐργάσῃ τάδε Nauck τόδε ll. praeter LP **1058** post 1045 transposuit Hartung κεἰ μὴ μεθ' ἡμῶν G. Hermann: ἢ 'κεῖ μεθ' ἡ. Weil με V **1059** ἅδην ll. praeter V¹B **1060** ποθ' A: πόθ' V: γρ. πῶσ V³ τόδ' V¹ **1062**s e 1240s huc irrepsisse uidit Pierson **1063** κτανοῦμεν A¹ a. corr. VB **1064** πέπρωται LV³ (sscr.): δέδοκται Blaydes **1065** τε LP **1066** οἶδ' ὅτι Schaefer **1067** εἶμι νῦν τληπαθεστάτην ὁ. etym. m. cod. Flor. **1068** seclus. Pierson **1070** ἀσπάσασθε V **1071** στόμα LP **1073** εὐδαιμονοίτην Elmsley τάδ' V¹: τὸ δ' Herwerden **1075** χρῶσ V¹ **1076** οὐ γάρ Nauck: οὐκέτ' ll. **1077** τ' ἔθ' ὑμᾶς Nauck: τ' ἐσ ὑμᾶσ LP:

τε πρὸσ ὑμᾶσ AV¹B²: τε προσμᾶσ B: πρὸς ὑμᾶς Christ. pat. 875. 1611: τ' ἐγὼ σφᾶς temptauit Murray

---

SCHOL. **1055** | VB χεῖρα δ' οὐ διαφθερῶ: πάλιν ἐνταῦθα λύεται πρὸς οἶκτον. ἔστι γὰρ μίμησις μητρὸς οὐ προαιρέσει, ἀνάγκῃ δὲ τοῦ τοὺς ἐχθροὺς ἀμύνασθαι τολμώσης φόνον κατὰ τῶν φιλτάτων. οὐκ ἂν οὖν, φησίν, ἐγὼ μολύναιμι τῷ τῶν ἐξ ἐμοῦ παίδων αἵματι τὴν ἐμαυτῆς χεῖρα. **1058** | Bⁱ ἀντὶ τοῦ ἐν Ἀθήναις. **1059** | VB μὰ τοὺς παρ' Ἅιδῃ νερτέρους: τοὺς καταχθονίους θεοὺς ἀλάστορας. ἀλάστορας δέ, οὓς οὐκ ἔστι λαθεῖν. ἐπειδὴ δὲ συνεχῶς ὁρᾷ ἑαυτὴν νικωμένην τῷ πρὸς τοὺς παῖδας οἴκτῳ, ὅρκῳ φρικωδεστάτῳ κατακλείει ἑαυτὴν πρὸς τὸ μηδὲν ἕτερον ἢ τὸν φόνον ἐξ ἅπαντος δρᾶσαι. καὶ οὐκ ἄν, φησίν, ἐγὼ καταλείψαιμι τοὺς ἐμοὺς παῖδας ὑπὸ τῶν ἐμῶν ἐχθρῶν καθυβρίζεσθαι· λέγει δὲ ὑπὸ τῶν πρὸς γένους τῇ Γλαύκῃ. καθυβρίσαι δὲ λέγει τὸ μετὰ αἰκίας τινὰ ἀνελεῖν. **1062** | VB πάντως σφ' ἀνάγκη: κἂν ἐγώ, φησί, μὴ φονεύσω τούτους, ἀλλ' οἱ ἐχθροὶ πάντως ἀναιρήσουσιν. εἰ δὲ ἅπαξ χρὴ τούτους ἀποθανεῖν, κάλλιον ὑφ' ἡμῶν ἀναιρεῖσθαι, ἵνα μὴ δοκοῖεν οἱ ἐχθροὶ τιμωρίαν ταύτην λαμβάνειν παρ' ἡμῶν. οἶδε δὲ τὸ εἱμαρμένον τοῖς παισίν, ὡς καὶ τὴν Ἰάσονος μοῖραν, ἐν οἷς φησιν [1387] Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος. **1064** | Bⁱ ἀντὶ τοῦ κέκριται εἵμαρται. ⟨γράφεται⟩ πέπρωται. **1065** | VB καὶ δὴ 'πὶ κρατὶ στέφανος: ταῦτα ἐκ τοῦ χρόνου ἀναλογιζομένη πρὸς ἑαυτὴν λέγει. καὶ δή, φησίν, ἡ μὲν Γλαύκη, ὡς εἰκός, ἐπὶ τῆς κεφαλῆς ἔχει τὸν στέφανον καὶ λοιπὸν ἐγγύς ἐστι τοῦ θανάτου, ἀλλ' εἶμι, μὴ μέλλωμεν ἥκειν ἐπὶ τὴν δυστυχεστάτην ὁδὸν τοῦ φόνου. **1068** | VBⁱ τὴν ἐπὶ τὸν Ἅιδην λέγει. τὸ δὲ ἔτι ἀντὶ τοῦ πολὺ μᾶλλον. **1073** | Bⁱ εὐδαιμονοῖτον μέν, ἀλλ' ἐκεῖ. λέγει δὲ εἰς Ἅιδην. | VB τὰ δ' ἐνθάδε: τὰ ἐν τοῖς ζῶσι. τουτέστιν· ὁ πατὴρ αἴτιος τοῦ μὴ ζήσεσθαι ὑμᾶς. **1074** | VB ἡ περίπτυξις. ἢ ἡ πρώτη θέα. ἐν τῷ περιπτύσσεσθαι καὶ καταφιλεῖν ταῦτα λέγει.

1—4 superioribus adi. V, sed praeter hoc schol. exh.: αὐτῷ μελήσει: πάλιν (v. 1) — προαιρέσει (2) ἀλλὰ διὰ τὸ τοὺσ ἐχθρ. — τολμῶσαν (3) οὐκ ἂν οὖν ἐγὼ φησὶ μολύναιμι φησὶν ἐμαυτὴν τῷ φόνῳ **1** *l* om V **2** τοῦ Schw.: τῷ V: τῶι B **3** κατὰ B: ἀντὶ V **5** s *l* om B **6** θεοὺς om V **6** s ἀλάστορας — λαθεῖν om V **7** s ἐπειδὴ — οἴκτῳ B: διὰ οἶκτον οὖν τὸν πρὸσ τοὺσ παῖδασ V **8** ἑαυτὴν κατακλείει V πρὸς — **11** Γλαύκῃ om V **12** αἰκίασ ex αἰτίασ B: βίασ V τινὸσ VB: em Schw. καὶ V **13** φονεύω B πάντεσ ἀναιρήσωσιν V **14** τούτοισ V ἡμῖν V **15** παρ' V: ἐξ B οἶδε — **17** πεπληγμένος om B **18** ⟨ ⟩ Schw. **18** s *l* om B **20** ἐμαυτὴν λέγω B **21** s μέλλομεν V **22** δυσχερεστάτην B **22** s praecedenti coniunxit scholio V **23** ἀντὶ τοῦ Bⁱ: ἐπὶ V **25** ἡμᾶσ V **26** s scholio quod antecedit adi. B **26** προσβολὴ δὲ περίπτυξισ B alterum ἡ V: ἀντὶ τοῦ B πεπτύσσεσθαι V: περιπτύσσεσθαι δὲ B **27** ταῦτα λέγει om V

ABV LP

καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακά·
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς. 1080

ΧΟ. πολλάκις ἤδη
διὰ λεπτοτέρων μύθων ἔμολον
καὶ πρὸς ἁμίλλας ἦλθον μείζους
ἢ χρὴ γενεὰν θῆλυν ἐρευνᾶν·
ἀλλὰ γὰρ ἔστιν μοῦσα καὶ ἡμῖν, 1085
ἣ προσομιλεῖ σοφίας ἕνεκεν·
πάσαισι μὲν οὔ· παῦρον δὲ γένος
(⟨μίαν⟩ ἐν πολλαῖς εὕροις ἂν ἴσως)
οὐκ ἀπόμουσον τὸ γυναικῶν.
καί φημι βροτῶν οἵτινές εἰσιν 1090
πάμπαν ἄπειροι μηδ᾽ ἐφύτευσαν
παῖδας, προφέρειν εἰς εὐτυχίαν
τῶν γειναμένων.
οἱ μὲν ἄτεκνοι δι᾽ ἀπειροσύνην
εἴθ᾽ ἡδὺ βροτοῖς εἴτ᾽ ἀνιαρὸν 1095
παῖδες τελέθουσ᾽ οὐχὶ τυχόντες
πολλῶν μόχθων ἀπέχονται·
οἷσι δὲ τέκνων ἔστιν ἐν οἴκοις

1078 τολμήσω κακά ll. praeter L cum multis auctorum ueterum testimoniis, ueluti Lucian. apol. 10 Clement. Alex. 2, 167 Galen. 5, 307. 408 Plut. de uit. pud. 11, 533 aliorum **1079** ἐμῶν: καλῶν Stadtmueller **1080** suspectus Sauppio **1081—1115** coryphaeo tribuit Arnoldt **1083** ἤλυθον A **1084** εἰ ll. praeter A[1] a. corr. **1087** δὲ δὴ AVB[1]: δέ τι L[1]P: B[3] (sscr.) δὲ γένος ⟨μίαν⟩ Elmsley (cf. Heraclid. 327): δὲ γ. ⟨σοφὸν⟩ Wecklein **1089** κοὐκ ll.: em Reiske **1094** μέντ᾽ ll.: em Porson ἀπειροσύναν ll. praeter P[1] a. corr. **1096** οὐχ οἱ AP μαθόντεσ B[2]: τεκόντες Elmsley **1098** οἷσιν ABP

SCHOL. **1081** | V πολλάκις ἤδη: ἀποτρέπων ὁ χορὸς τὴν Μήδειαν τῆς τῶν παίδων ἀναιρέσεως διεξέρχεται τοὺς τῆς παιδοποιίας πόνους. **1081** | VB πολλάκις ἤδη: πολλάκις, φησί, κατ᾽ ἐμαυτὴν ἐλογισάμην καὶ δι᾽ ἀκριβεστέρων λογισμῶν προσῆλθον αὐτὴ πρὸς ἐμαυτὴν ἁμιλλωμένη καὶ ζητοῦσα εἰ δυνατὸν καὶ τῇ γυναικείᾳ φύσει ἐρευνᾶν τὰ τοῦ 5

βίου πράγματα καὶ εἰδέναι τί μὲν καλὸν τοῖς ἀνθρώποις, τί δὲ οὔ. καὶ
λογισαμένη εὗρον ὅτι μέτεστι μὲν ταῖς γυναιξὶ σοφίας καὶ τῆς τῶν ἀνθρω-
πίνων πραγμάτων καταλήψεως, οὐ πάσαις δέ, ἀλλ᾽ ὀλίγαις. ὧν οὖσα μία
καὶ αὐτὴ τυγχάνω καὶ λογίζομαι τῶν ἀνθρώπων τοὺς ἀπείρους παιδοποιίας
πολλῷ προφέρειν καὶ ὑπερβάλλειν εὐτυχίᾳ τοὺς γεννήσαντας. ὅσοι μὲν γὰρ 10
τῶν κατὰ παιδοποιίαν μόχθων ἐκτός εἰσιν, εἴτε καλὸν εἴτε λυπηρὸν οἱ
παῖδες, οὐκ ἴσασιν· οἱ δ᾽ ἔχοντες ἀνάγκῃ τῆς περὶ τοὺς παῖδας ἐπιμελείας
κατατρυχόμενοι διατελοῦσιν, πρῶτον μὲν ὅπως ἀγάγωσι τοὺς παῖδας κοσμίως,
σπουδάζοντες, δεύτερον δὲ καὶ πόθεν τούτοις χρημάτων πόρον καταλείψειαν,
τρίτον ἐπὶ τούτοις οὐκ εἰδότες πότερον χρηστοῖς οὖσι τοῖς παισὶν ἢ πονηροῖς 15
τὸν τρόπον μοχθοῦσι τὸν χρόνον ἅπαντα. οὐ γὰρ εὐμαρὲς συνιέναι τρόπον
ἀνθρώπου, ὅπου γε τοὺς νομιζομένους εἶναι χρηστοὺς πονηροὺς πολλάκις
ἐξαίφνης εὑρίσκομεν. ἓν δὲ πάντων τῶν κακῶν τελευταιότατον βούλομαι
πᾶσιν ἀνθρώποις ἐξειπεῖν· δῶμεν γὰρ ὅτι καὶ βίον αὐτάρκη τοῖς παισὶ
κέκτηνται καὶ εἰς ἀκμὴν ἡλικίας προῆλθον οἱ παῖδες καλοί τε κἀγαθοὶ τὸν 20
τρόπον ἐκβεβήκασιν· εἰ [[δὲ]] δὴ τούτων οὕτως ἐχόντων φθάσας ὁ δαίμων,
πρὶν ὄνασθαι τῶν ἀγαθῶν, τούτους ἁρπάσειε, πῶς ἔτι λυσιτελεῖ πρὸς τοῖς
ἄλλοις τῶν ἀνθρώπων κακοῖς παῖδας εὔξασθαι τοῖς θεοῖς παρασχεῖν λύπην
ἄντικρυς ὄντας. **1082** | B[i] σοφῶν καὶ συνετῶν. **1085** | B[i] πλεο-
νάζει ὁ ἀλλά. ἢ ἀντὶ τοῦ δή. | V ἀλλὰ γὰρ ἔστι: πλεονάζει 25
ὁ ἀλλά· ἔστι γὰρ μοῦσα καὶ ἡμῖν. μέχρι δὲ τοῦ οὐκ ἀπόμουσον τὸ
γυναικῶν ἐν μεσοσυλλαβίᾳ ἐστὶν ὁ λόγος. | VB μοῦσα καὶ ἡμῖν:
ἀντὶ τοῦ φρόνησις παίδευσις πρὸς τὸ δύνασθαι διακρίνειν τὰ ἀνθρώπινα.
καὶ ἡμῖν οὖν, φησί, μοῦσα προσομιλεῖ σοφίαν χαριζομένη πρὸς τὸ ⟨καὶ⟩
ἡμᾶς ἀποφαίνεσθαί τι περὶ τῶν ἀνθρωπίνων. **1089** | B[g] ἀπαίδευτον. 30
1092 | B[i] ἀντὶ τοῦ ὑπερβάλλειν ὑπερφέρειν. **1093** | B[i] τῶν
γεννησάντων τῶν φυτευσάντων. **1094** | V οἱ μέντ᾽ ἄτεκνοι δι᾽
ἀπειροσύναν πολλῶν μόχθων ἀπέχονται οὐχὶ τυχόντες εἴθ᾽ ἡδὺ βροτοῖς εἴτ᾽
ἀνιαρὸν παῖδες. **1097** | B[i] μακράν εἰσι μὴ πειρασθέντες.
1098 | VB οἷσι δὲ τέκνων: τούτους, φησίν, ὁρῶ τῇ περὶ τοὺς παῖδας 35
ἐπιμελείᾳ συνεχεῖ καταπονουμένους.

---

3 φόνουσ V: em Schw. *l* om V **3—10** cum scholio praecedenti coniunxit V **4** προῆλθον B αὐτῆι πρὸσ αὐτὴν B **6** ἀνθρώποισ καλὸν B **7** μέτεστη B **9** τυγχάνω B: φημὶ V **10** προσφέρειν V ὅσοι — **24** ἀντι-κρούοντασ pro separato scholio habet V cum lemmate: εἴθ᾽ ἡδὺ βροτοῖσ **11** τὴν παιδοποιίαν B **12** ἀνάγκην VB: em Schw. **16** τοῦτον τὸν τρ. V: τοῦτον δὲ τ. τρ. B: em Schw. **17** εἶναι B: γῆσ V **18** ἓν B: εὖ V τελευταῖον B **19** βία V **19—24** cf. p. 95, 3 ss et ad 95, 12 **21** [[ ]] Wil. **22** ἁρπάσει B **23** τοὺσ θεοὺσ B **23** s λύσιν ἀντικρού-οντασ V **27—30** cum superioribus coniunxit V **27** μοῦσα δὲ V **28** φρόνησις om V κρίνασθαι V **29** σοφίασ V ⟨ ⟩ Schw. **30** ἀνθρώ-πων VB: em Schw. **33** οὐχὶ Schw.: οὐχ᾽ οἱ V εἴσθ᾽ et εἴστ᾽ V **35** *l* om B

ABV LP

γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
κατατρυχομένους τὸν ἅπαντα χρόνον, 1100
πρῶτον μὲν ὅπως θρέψουσι καλῶς
βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις·
ἔτι δ' ἐκ τούτων εἴτ' ἐπὶ φλαύροις
εἴτ' ἐπὶ χρηστοῖς
μοχθοῦσι, τόδ' ἐστὶν ἄδηλον.
ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη 1105
πᾶσιν κατερῶ θνητοῖσι κακόν·
καὶ δὴ γὰρ ἅλις βίοτόν θ' ηὗρον,
σῶμά τ' ἐς ἥβην ἤλυθε τέκνων
χρηστοί τ' ἐγένοντ'· εἰ δὲ κυρήσαι
δαίμων οὕτως, φροῦδος ἐς Ἅιδην 1110
θάνατος προφέρων σώματα τέκνων.
πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
τήνδ' ἔτι λύπην ἀνιαροτάτην
παίδων ἕνεκεν
θνητοῖσι θεοὺς ἐπιβάλλειν; 1115

ΜΗ. φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην
καραδοκῶ τἀκεῖθεν οἷ προβήσεται.
καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος
στείχοντ' ὀπαδῶν· πνεῦμα δ' ἠρεθισμένον
δείκνυσιν ὥς τι καινὸν ἀγγελεῖ κακόν. 1120

ΑΓΓ. ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη
Μήδεια, φεῦγε φεῦγε, μήτε ναΐαν
λιποῦσ' ἀπήνην μήτ' ὄχον πεδοστιβῆ.

ΜΗ. τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;

ΑΓΓ. ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη 1125
Κρέων θ' ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.

1099 ὁρῶ ll. praeter LP: V³ (sscr.) γλυκερὸς βλαστημός, ὁρῶ ci Murray **1101** ὅπως ἂν L¹P θρέψωσι ll.: em Brunck **1102** βίον V¹

1103 φαύλοισ AL³ **1106** κακῶν AVB²: Σ (?) **1107** βιοτὴν Nauck Lenting ϑ' om ll. praeter LV³ εὗρον ll. **1108** σώματ' AP ἦλϑε LP **1109** κυρήσαι V³L³: κυρῆσαι AB: κυρήσασ V¹: κυρήσει τύχη συμβαίη P: κυρήσει L **1110** γρ. οὕτωσ V³ sscr.: οὕτω L¹: οὗτοσ AVBPL³: ὀλοός ci Prinz εἰσ ll. praeter PL³ ἀΐδην AVB: ἀΐδαν LP **1111** om Wecklein **1112** ὡς οὐ λύει Bersanetti **1113** ἐπὶ ll. praeter ALV³ (sscr.) **1116** τοι: δὴ B **1117** οἷ 'ποβήσεται Cobet propter οἷ 'προβήσεται B **1118** καίτοι LP τῶν B: V³ (sscr.): τὸν rell. **1119** ὀπαδόν ll. praeter V³ (sscr.) cum Christ. pat. 125 τ' ll.: em G. Hermann **1120** δείκνυσι δ' ὡσ ll. praeter AB ἀγγελεῖ παρών Christ. pat. 127 **1121** om B¹: damnauit Lenting **1121** ss 1125. 1129. 1136 ϑεράποντι tribuunt ll. praeter LP **1121** παρανόμωσ τ' BV εἰργασμένον V¹ **1122** s cf. Eustath. Od. p. 1515 **1123** αἰτοῦσ' Iortin **1126** δ' V

Schol. **1099** | VB μελέτη: ἤγουν τῇ καϑημερινῇ ἐπιμελείᾳ. | Bⁱ φροντίδι. **1102** | Bⁱ τὰ χρήματα τὴν οὐσίαν. **1103** | Bⁱ μετὰ ταῦτα δέ. **1105** | V ἓν δὲ τὸ πάντων: δῶμεν γὰρ ὅτι καὶ τὸν βίον αὐτάρκη κέκτηνται καὶ εἰς ἀκμὴν ἡλικίας προῆλϑον· εἰ οὖν φϑάσας ὁ δαίμων, πρὶν ὄνασϑαι τῶν ἀγαϑῶν, τούτους ἁρπάσειε, πῶς ἔτι λυσιτελεῖ 5 παῖδας εὔχεσϑαι γεννᾶν τοῖς ϑεοῖς. | Bⁱ ἀντὶ τοῦ μεῖζον κακόν. **1107** | Bᵍ ἀρκοῦσαν οὐσίαν. **1109** | Bⁱ ἀντὶ τοῦ· εἰ κυρήσειεν καὶ τύχοι. **1110** | B τὸ δαίμων τῷ ϑανάτῳ συναπτέον. δαίμονα γὰρ τὸν ϑάνατον ὠνόμασεν. φροῦδος δέ, ἐπεὶ ἄδηλος ἀνϑρώποις ὁ ϑάνατος. **1111** | Bⁱ προπέμπων ἀποκομίζων. **1112** | VBⁱ πῶς οὖν 10 λύει πρὸς τοῖς ἄλλοις: ἡ οὖν συλλαβὴ νῦν σύνδεσμός ἐστι παραπληρωματικὸς ἀντὶ τοῦ δή. **1114** | Bᵍ παιδοποιίας. **1115** | Bⁱ προστιϑέναι. **1116** | Bⁱ τὴν τύχην ἀντὶ τοῦ τὴν ἀπόβασιν τοῦ πράγματος. **1119** | VBⁱ πνεύματ' ἠρεϑισμένον: παρωξυμμένον. οἱ γὰρ πνευματιῶντες ὀξέως καὶ συνεχῶς ἀναπνέουσιν. | Bⁱ τὸ ἆσϑμα 15 αὐτοῦ τεταραγμένον. **1122** | VB μήτε ναῖαν: καταχρηστικῶς τὴν ναῦν ἀπήνην ὠνόμασεν· ἀπήνη γὰρ κυρίως ἡ ἅμαξα. ὄχον δὲ λέγει τὸ ὄχημα. ὁ δὲ νοῦς· εἴτε διὰ νεὼς εἴτε δι' ὀχήματος εἴϑ' ὁπωσοῦν φεῦγε. **1124** | V τί δ' ἄξιόν μοι: ὑφ' ἓν ἀναγνωστέον. τινὲς δὲ εἰς τὸ τί δέ στίζουσι, τὸ δὲ λοιπὸν κατ' ἐρώτησιν. 20

---

1 οὖν V: τουτέστι B: em Schw. **4** εἰ Schw.: ἐὰν V **8** τὸ: τῷ B **11** νῦν om V **12** πῶσ δὴ B addit V: πρὸσ (p. 93, 22) — (23 s) τοὺσ ϑεοὺσ π. λ. χαλεπὴν ἀντικρούοντασ: addit B: τουτέστι πωσ λυσιτελεῖ εὔξασϑαι τοῖσ ϑεοῖσ παῖδασ παρασχεῖν λ. χ. ἀντικρούοντασ **13** τὴν τύχην post πράγματοσ coll. Bⁱ: em Wil. **14** *l* om B **15** πνεύματα ὄντεσ V **16** *l* om B **16** s νῦν τὴν ν. B **17** λέγει B: κυρίωσ λέγεται V **18** εἴϑ' ὁπωσοῦν om V

ABV LP

ΜΗ. κάλλιστον εἶπας μῦθον, ἐν δ' εὐεργέταις
τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσῃ.

ΑΓΓ. τί φῄς; φρονεῖς μὲν ὀρθὰ κοὐ μαίνῃ, γύναι,
ἥτις, τυράννων ἑστίαν ᾐκισμένη, 1130
χαίρεις κλύουσα κοὐ φοβῇ τὰ τοιάδε;

ΜΗ. ἔχω τι κἀγὼ τοῖς γε σοῖς ἐναντίον
λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,
λέξον δ' ὅπως ὤλοντο· δὶς τόσον γὰρ ἂν
τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως. 1135

ΑΓΓ. ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
σὺν πατρὶ καὶ παρῆλθε νυμφικοὺς δόμους,
ἥσθημεν οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
δμῶες· δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος
σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν. 1140
κυνεῖ δ' ὃ μέν τις χεῖρ', ὃ δὲ ξανθὸν κάρα
παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
δέσποινα δ' ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα, 1145
πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
ἔπειτα μέντοι προυκαλύψατ' ὄμματα
λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηίδα,
παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
ὀργάς ἀφῄρει καὶ χόλον νεάνιδος 1150
λέγων τάδ'· 'οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
παύσῃ δὲ θυμοῦ καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ' οὕσπερ ἂν πόσις σέθεν,
δέξῃ δὲ δῶρα καὶ παραιτήσῃ πατρὸς
φυγὰς ἀφεῖναι παισὶ τοῖσδ' ἐμὴν χάριν;' 1155

1130 τύραννον V[3] οἰκίαν ll. (cum Σ?) praeter LP ᾐκισμένην VB: Σ(?) **1131** τ' οὐ Kuiper **1132** τοῖσι Haun.: τοῖσδε Lascaris **1134** δὲ πῶς LP **1135** τέρψειαν V[1] **1136** cf. Eustath. Il. p. 250

1137 σὺν π. δῶρ' ἔχοντε ν. δ. Stadtmueller **1139** οἴκων Weil e Σ πολὺς om B **1141** κύνει ll.: ἐκύνει Wecklein **1144** δέσποιναν ἣν V[1] a. corr. **1150** ὀργάσ τ' LP νεάνιδοσ χόλον ll. praeter LPB **1151** οὗ V

Schol. **1129** | VB τί φῇς, φρονεῖς μέν: πῶς, φησίν, εἶπας τοῦτο; ὅτι μὲν γὰρ κατὰ φύσιν φρονεῖς καὶ οὐκ ἐξέστηκας, δῆλον· θαυμάζω δὲ πῶς οὐκ ἀγωνιᾷς ἀκούσασα τὸν βασιλικὸν οἶκον διεφθάρθαι ὑπὸ τῶν σῶν φαρμάκων. ἢ κατ' ἐρώτησιν προενεκτέον τὸν λόγον· πῶς εἶπας τοῦτο; οὐχὶ μαίνεσθαί σε καὶ παραφρονεῖν ἄν τις νομίσειεν οὐκ ἀγωνιῶσαν ἐπὶ τούτῳ; ἵνα ὁ μέν παρέλκῃ. **1132** | VB ἔχω τι κἀγώ: κἀγώ, φησίν, ἔχω πρὸς τὰς ἐπενεχθείσας μοι μέμψεις παρὰ σοῦ πρόφασιν εὔλογον ἀντεισάγειν, δι' ἣν εὐλόγως δοκῶ μοι χαίρειν ἐφ' οἷς ἀπήγγειλας· ἀλλὰ τέως μὴ σπεῦδε ἐπιχειρεῖν. αἰνίττεται δὲ τὸ καὶ αὐτὴν πρότερον ἀδικεῖσθαι ὑπὸ Ἰάσονος. **1136** | VB ἐπεὶ τέκνων σῶν: ὡς εἴδομεν, φησί, τοὺς σοὺς παῖδας τὰ δῶρα προσφέροντας, ἐχάρημεν ἡμεῖς οἱ θεράποντες, οἵτινες ἐλυπήθημεν πρὸ τούτου ἐννοοῦντες τὴν σὴν σκαιὰν τύχην, λέγει δὲ τὸ ἀπεζεῦχθαι τοῦ Ἰάσονος. ὡς οὖν, φησίν, εἴδομεν τὰ δῶρα κομιζόμενα παρὰ σοῦ, εὐφράνθημεν ἐλπίσαντες ὑμᾶς πεπαῦσθαι τῆς ἔχθρας, ἐπεὶ καὶ πολὺς ἦν ὁ λόγος κατὰ τὴν οἰκίαν διαλελύσθαι ὑμᾶς καὶ τὴν προτέραν φιλονεικίαν εἰς φιλίαν μεταβεβληκέναι. **1138** | B[i] οἵτινες ἐλυπούμεθα ⟨διὰ⟩ τὴν σὴν ἀπόζευξιν. **1140** | B[i] τὴν φιλονεικίαν διαλύσασθαι. **1143** | VB στέγας γυναικῶν: τοὺς οἴκους, ἔνθα αἱ γυναῖκες διέτριβον αἱ ταλασιουργοῦσαι, μεθ' ὧν ἦν καὶ ἡ Γλαύκη ἐπισκοποῦσα τὴν ἐργασίαν. κἀγὼ οὖν, φησίν, ὑπὸ πολλῆς χαρᾶς συνεισῆλθον τοῖς σοῖς τέκνοις. λείπει δὲ ἡ εἰς, ἵν' ᾖ· εἰς στέγας. **1144** | B[g] τιμῶμεν. **1145** | B[g] συζυγίαν. **1146** | VB πρόθυμον εἶχ' ὀφθαλμόν: ἀντὶ τοῦ· προθύμως καὶ ἥδιστα ἑώρα τὸν Ἰάσονα. ὡς δὲ εἶδε τοὺς παῖδας, ἀπεστράφη [[τὸν Ἰάσονα]], τὸ μητρυιᾶς μῖσος εἰς τοὺς προγόνους νοσήσασα. | B[g] ἱλαρόν. **1149** | B[i] ἀηδισθεῖσα. **1150** | VB ὀργὰς ἀφῄρει: ἀντὶ τοῦ· μὴ ὀργίζεσθαι τοῖς παισὶ παρῄνει αὐτῇ μηδὲ βδελύττεσθαι τούτους. **1151** | VB οὐ μὴ δυσμενής: αἱ δύο ἀρνήσεις ἀντὶ μιᾶς κεῖνται, τουτέστι· μὴ δυσμενὴς ἔσο τοῖς φίλοις, ἀλλὰ παῦσαι θυμοῦ καὶ ἐπίστρεφον πρὸς αὐτοὺς τὰς ὄψεις. **1153** | B[g] ἀντὶ τοῦ ἐγώ. **1154** | B[i] παρὰ τοῦ πατρὸς αἰτήσῃ.

---

1 *l* om B εἶπεσ V **3** σῶν om V **4** προσακτέον VB: em Schw. πῶσ οὐχὶ B **6** *l* om B **9** τὸ καὶ Schw.: καὶ V: τὸ B τοῦ ἰάσονοσ B **10** *l* om B **11** ἐλυπούμεθα B **14** ὁ om B **16** ⟨ ⟩ Schw. **18** αἱ om V **19** ὧν B: ἡμῶν V ἡ om B γλαύκηι B **22** *l* om B **23** τούτουσ παρόντασ B **23s** [[ ]] Schw. **24** μήτρασ V **25** *l* om B **26** αὐτῇ om V τοῦτον V **26s** *l* om B **28** εἰσ V

ABV
LP

ἡ δ᾽ ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ᾽ ᾔνεσ᾽ ἀνδρὶ πάντα, καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας, σέθεν
λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο,
χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις 1160
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
κἄπειτ᾽ ἀναστᾶσ᾽ ἐκ θρόνων διέρχεται
στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί,
δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις 1165
τένοντ᾽ ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ᾽ ἰδεῖν·
χροιὰν γὰρ ἀλλάξασα λεχρία πάλιν
χωρεῖ τρέμουσα κῶλα καὶ μόλις φθάνει
θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν. 1170
καί τις γεραιὰ προσπόλων δόξασά που
ἢ Πανὸς ὀργὰς ἤ τινος θεῶν μολεῖν
ἀνωλόλυξε, πρίν γ᾽ ὁρᾷ διὰ στόμα
χωροῦντα λευκὸν ἀφρόν, ὀμμάτων τ᾽ ἀπὸ
κόρας στρέφουσαν, αἷμά τ᾽ οὐκ ἐνὸν χροΐ· 1175
εἶτ᾽ ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. εὐθὺς δ᾽ ἡ μὲν ἐς πατρὸς δόμους
ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράν· ἅπασα δὲ
στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν. 1180

1156 ὥστ᾽ ll. praeter LP **1158** παῖδας: τέκνα AV σέθεν om L[1]: Σ (?) πατέρα καὶ τέκν᾽ ἀσμένη Stadtmueller πατέρα καὶ διπλῆν σπορὰν uel π. κ. κόρων ζυγὸν uel π. κ. παιδεύματα temptauit Murray **1159** ἠμπίσχετο Haun.[1] Elmsley: ἀμπίσχεται Blaydes: ἠμπείχετο Wecklein **1161** σχ. δέμας V[1] **1162** εἰκῶ ll. praeter ABP[3] cf. Σ **1167** τοὐντεῦθεν μέν τοι A **1168** λεχρίαν V contra Σ **1169** τρέχουσα LP **1172** ἢ θεῶν Μητρὸς Usener **1173** ὁρᾶν B[2] διὰ: κατὰ LP cum Σ **1174** τ᾽ LP: δ᾽ rell. τ᾽ ἄπο ll.: em Heath: τ᾽ ἀεί ci Prinz: τέ νιν Wecklein **1176** cf. Eustath. Il. p. 643 **1179** συμφοράς AVB **1180** δραμήμασιν Cobet

Schol. **1156** | VB ἢ δ' ὡς ⟨ἐσ⟩εῖδε: ἀντὶ τοῦ· οὐκ ἠνέσχετο ἐν τῇ αὐτῇ καταστάσει μεῖναι, ἀλλὰ μετεβλήθη τῆς ἀγριότητος καὶ τοῦ θυμοῦ. **1157** | VBi ἀλλ' ᾔνεσ' ἀνδρί: ἀλλὰ συγκατετίθετο πάντα τῷ ἀνδρί. **1158** | VB μακρὰν ἀπεῖναι: οὕτως δὲ περιχαρὴς γέγονε τὸν κόσμον ἰδοῦσα καὶ ἕρμαιον ἡγήσατο τὸ δῶρον, ὡς μὴ ἀναμεῖναι τὴν ἀπουσίαν τοῦ Ἰάσονος, ἀλλ', ἔτι πλησίον ὄντος τοῦ πατρὸς καὶ τῶν παίδων, εὐθὺς λαβοῦσα περιέθετο τὸν κόσμον. ἴσμεν δὲ ὅτι αἱ γυναῖκες οὐκ ἐπὶ παρουσίᾳ τῶν ἀνδρῶν κοσμοῦνται. αὕτη οὖν, φησίν, ὑπερησθεῖσα τῷ δώρῳ οὐ παρῃτήσατο καὶ παρόντος τοῦ Ἰάσονος περιθέσθαι τὸν κόσμον. **1161** | Bi ῥυθμίζει συντίθησι καλλωπίζεται. **1162** | VB ἄψυχον εἰκώ: ἄψυχον εἰκόνα φησὶ τὴν ἐν τῷ κατόπτρῳ φαινομένην μορφήν. σώματος δὲ λέγει τῆς τῷ ὄντι ὄψεως. τὸ δὲ ἑξῆς· πρὸς τὴν ἄψυχον εἰκὼ τοῦ σώματος γελῶσα, τουτέστι χαίρουσα ἐπὶ τῇ ὑποπιπτούσῃ ἐν τῷ κατόπτρῳ εὐμορφίᾳ. | B ἄψυχον εἰκώ: γράφεται προσβλέπουσα σώματος. **1164** | Bi ἁπαλὸν ἢ ἐπηρμένον. **1166** | Bi ἀντὶ τοῦ· ὀρθῷ τένοντι. **1168** | Bg πλαγία. **1169** | Bi μόλις φθάνει μὴ χαμαὶ πεσεῖν. **1171** | Bg νομίσασα. **1172** | VB ἢ Πανὸς ὀργάς: τοὺς ἐξαίφνης καταπίπτοντας ᾤοντο τὸ παλαιὸν οἱ ἄνθρωποι ὑπὸ Πανὸς μάλιστα καὶ Ἑκάτης πεπλῆχθαι τὸν νοῦν. ὁ δὲ νοῦς· καί τις τῶν θεραπαινῶν γεραιὰ πρότερον ἑωρακυῖα κατὰ τὸ στόμα προϊόντα τὸν ἀφρὸν ἐκστρέφουσάν τε τοὺς ὀφθαλμοὺς καὶ νεκρούμενον τὸ λοιπὸν σῶμα, νομίσασα θεοῦ τινος εἶναι χόλον τὸ τοιοῦτον, ηὔξατο σωθῆναι αὐτήν· εἶτα ὡς εὐχομένης ἐπέτεινε τὸ κακόν, θρῆνον ἠφίει ὡς λοιπὸν ἀπολλυμένης αὐτῆς. | VB ἄλλως: τὰ πανικὰ δείματα. τὴν τῶν αἰφνιδίων φόβων καὶ ταραχῶν αἰτίαν τῷ Πανὶ ἀνατιθέασιν. **1173** | V ἀνωλόλυξε: ηὔξατο. Ὅμηρος [Z 301]· 'ὀλολυγῇ πᾶσαι χεῖρας'. | B ἀνωλόλυξε δέ, ἀντὶ τοῦ ηὔξατο, μετ' εὐχῆς ἐβόησε, πρίν γ' ὁρᾷ, ἀντὶ τοῦ· ἕως ἐθεάσατο, καὶ τὰ ἑξῆς. **1175** | Bi οὐκ ἐνυπάρχον. **1176** | VB ἀντίμολπον: ἀντίφθογγον, ἐναντίον τῇ εὐχῇ. οὐ γὰρ ταὐτὸν μολπὴ καὶ θρῆνος. **1177** | VB εὐθὺς δ' ἡ μὲν εἰς πατρός: ἡ μὲν τῶν θεραπαινῶν πρὸς τὸν πατέρα ὥρμησε τῆς Γλαύκης ἀπαγγελοῦσα τὸ γεγενημένον· ἡ δὲ πρὸς τὸν Ἰάσονα. **1180** | Bi ἀντὶ τοῦ· θορύβου πλήρης ἦν ὁ οἶκος.

---

1 *l* om B ⟨ ⟩ Schw. **2** ἀλλ' ἐμετεβληθη V **3** συγκατέθετο Bi **5** τὸ om B **7** ἐπὶ Laur. 31, 10: ἔτι VB **9** περιέθετο V **10—13** scholio insequenti adi. B **12** γελῶσαν V **13** χαίρουσαν V add. B: ἄψυχον οὖν εἰκῶ τὴν εἰσ τὸ ἔσοπτρον φαινομένην **17** ᾤιοντο B: οἷον V **19** τὸ om B **21** τὸ λοιπὸν Schw.: τὲ λοιπὸν τὸ V: λοιπὸν τὸ B τὸ om B **23** *l* om B ἤτοι τὴν B **25** ὀλολυγὴν V **28**s οὐ — θρῆνοσ B: ἤγουν θρῆνον V **29** *l* om B **30** ἀπαγγέλλουσα V **31** γεγενημένον V: συμβὰν B

ABV LP

ἤδη δ' ἀνέλκων κῶλον ἔκπλεθρον δρόμου
ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετο·
ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο·
διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο. 1185
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός·
πέπλοι δὲ λεπτοί, σῶν τέκνων δωρήματα,
λεπτὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
φεύγει δ' ἀναστᾶσ' ἐκ θρόνων πυρουμένη, 1190
σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,
ῥῖψαι θέλουσα στέφανον· ἀλλ' ἀραρότως
σύνδεσμα χρυσὸς εἶχε, πῦρ δ', ἐπεὶ κόμην
ἔσεισε, μᾶλλον δὶς τόσως ἐλάμπετο.
πίτνει δ' ἐς οὖδας συμφορᾷ νικωμένη, 1195
πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν·
οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις
οὔτ' εὐφυὲς πρόσωπον, αἷμα δ' ἐξ ἄκρου
ἔσταζε κρατὸς συμπεφυρμένον πυρί,
σάρκες δ' ἀπ' ὀστέων ὥστε πεύκινον δάκρυ 1200
γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον,
δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
νεκροῦ· τύχην γὰρ εἴχομεν διδάσκαλον.
πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ

1181 s damn. Dindorf **1181** ἂν ἕλκων Schaefer: ἂν ἕρπων Usener: ἂν ᾄσσων Wecklein. sed cf. Σ ἔκπλεθρον ll. praeter L: ἐκπλέθρου Reiske **1182** ἂν ἥπτετο Musgrave **1183** σώματοσ A: ὄμματα Christ. pat. 906 **1184** ἀπώλλυτο L[1]P. cf. 277 **1186** κόσμοσ V **1188** τε ll. praeter LP **1189** λευκὴν B Haun. **1190** δόμων A **1191** σείουσαν V **1193** χρυσοῦν Herwerden: κρατὸς Wecklein **1194** μᾶλλον: μαλακὴν uel ἁπαλὴν ci Prinz: μαλλὸν Kvičala (cf. Hesych. s. u.) τόσωσ τ' A: τοσῶσ τ' VB: τόσων P: τόσον P[3]: τόσον τ' B[2]V[3] ἐθάλπετο Nauck **1195** πιτνεῖ AVB: πίπτει LP ἐπ' LP Christ. pat. 1086 **1201** γναθμῶν P[3]: γνάθοις Wecklein ἀδήλων L[1]P φαρμάκοισ P[3]. cf. Σ

Schol. **1181** | VB ἤδη δ' ἀνέλκων: ὡς ἐκ παραδείγματος
ἔλαβε τὴν ἔννοιαν, δηλῶσαι βουλόμενος τὴν ὀξύτητα τοῦ κακοῦ· οὕτως δὲ
ταχέως ἐπενέμετο αὐτὴν τὸ πῦρ καὶ οὕτως ὀξέως τῶν ὀστῶν αὐτῆς ἀνθήπ-
τετο, ὡς ἂν ὀξύτατος ἵππος ἀνακουφίζων ἑαυτοῦ τὸν πόδα, τουτέστι μεγάλοις
καὶ ταχέσι πηδήμασι χρώμενος, [[ἵνα]] πρὸς τὸ τέλος ἀφίκοιτο τοῦ δρόμου, 5
τουτέστι τὸν καμπτῆρα. τοῦ γὰρ σώματος τὸ τέλος τὰ ὀστᾶ εἰσιν, ὡς τοῦ
δρόμου ὁ καμπτήρ. | VB ἄλλως: ἤδη δὲ ὡς ταχὺς βαδιστὴς τὸ
ὑπέρμετρον ἑαυτοῦ κῶλον ἀνέλκων τῶν τερμόνων τοῦ δρόμου ἀνθήπτετο,
τουτέστιν· ἤδη ἡ ταχεῖα νόσος ὀξὺ καὶ ὑπέρμετρον βαίνουσα τῶν μυελῶν
αὐτῆς ἀνθήπτετο. ὁ δὲ νοῦς· ἤδη δὲ τὸ πῦρ τῶν ὀστῶν ἀνθήπτετο, 10
ὡς ⟨ἂν⟩ ταχὺς βαδιστής, ἵππος, ταχέως ἀφίκοιτο εἰς τὸν καμπτῆρα. τέλος
δὲ τοῦ σώματος τὰ ὀστᾶ. | VB ἄλλως: ταχὺς βαδιστής: τὸ διά-
στημα λέγει τὸ γενόμενον αὐτῇ ἐξ οὗ ἄναυδος ἦν μέχρις οὗ ἐφθέγξατο. ὅσην
γὰρ δύναται ῥοπὴν καιροῦ ἔχειν ταχὺς δρομεὺς ἀπὸ βαλβῖδος ἀφεθεὶς μέχρι
καμπτῆρος, τοσοῦτον καὶ αὕτη ἄναυδος ἦν. | VB κῶλον ἔκπλεθρον: 15
πλέθρον ἐστὶ μέτρον γῆς· κῶλον οὖν ἔκπλεθρον μέγα πήδημα ὡς
ὑπερβαίνειν πλέθρον. **1182** | B i δρομεὺς ἵππος. **1186** | B i ὁ
στέφανος θαυμαστὴν ῥύσιν τοῦ φθαρτικοῦ πυρὸς ἠφίει. **1192** | B i ἀσφα-
λῶς. **1193** | B i τὰς συμπλοκάς, τὰς συνδέσεις. **1196** | VB πλὴν
τῷ τεκόντι: λείπει τὸ πᾶσι, τουτέστιν· πᾶσιν ἄλλοις σφόδρα δυσεπίγνωστος 20
ἰδεῖν, πλὴν τῷ τεκόντι. μόνος γὰρ οὗτος ἐπεγίνωσκε τὴν Γλαύκην· μόνος
γὰρ ὁ τεκὼν ὀξύτερον κατενόει τὴν κόρην. 'τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὅμως·
εὐθὺς δ' ἀπήμων ⟨κραδία⟩ κᾶδος ἐπ' ἀλλότριον' Πίνδαρος [Nem. I, 53]. |
B i πάνυ δυσεπίγνωστος καὶ δυσκαταμάθητος. ἠγνόει γὰρ ὁ πατὴρ τὸ
συμβάν. **1201** | VB γναθμοῖς ἀδήλοις: αἱ δὲ σάρκες, φησί, τῶν 25
γνάθων κατέρρεον ὑπὸ τῶν ἀδηλοποιῶν φαρμάκων. δοτικὴ δὲ ἀντὶ τῆς
γενικῆς. γράφεται ⟨ἀδήλων⟩. | Vg † τοῦ Τζέτζου: ἐν τοῖς
σιαγόσι καὶ τοῖς στόμασι· τινῶν; τῶν φαρμάκων. τὸ σχόλιον δὲ φλυαρεῖ·
ὡσανεὶ γὰρ τὰ φάρμακα ὀδόντας εἶχον. **1203** | VB τύχην γὰρ
εἴχομεν: ἀντὶ τοῦ· ἡ δυστυχία τῆς Γλαύκης καὶ τὸ περὶ ταύτην πάθος 30
ἐπαίδευεν ἡμᾶς καὶ ἀπέτρεπεν. **1204** | VB συμφορᾶς ἀγνωσίᾳ:
ἀγνοῶν ἐκ φαρμακείας εἶναι τὸ πάθος καὶ τὴν εὐμετάδοτον αὐτοῦ φύσιν.

---

1 *l* om B ὡς om B **3** ἐνέμετο VB: em Wil. ταχέωσ V
ὀστέων V **5** [[ ]] Schw. **6** τῷ καμπτῆρι V **7** *l* om B **11** ⟨ ⟩ Schw.
ἀφίκηται VB: em Schw. **12** τοῦ om B *l* om B **14** τροπὴν VB:
em Wil. **15** καμπτοῦ VB: em Schw. **15** ss Σ 1—7 adi. B **16** πλέ-
θρον δὲ B **16** s ὡσ ὑ. πλ. V: καὶ ὑπερβαῖνον πλέθρου μέτρον B **20** λεί-
πει B: διὰ V διάγνωστοσ V **21** s μόνοσ γὰρ ὁ τεκὼν V: ἐπείπερ B
22 πᾶν θ' ὅμωσ VB **23** ⟨ ⟩ Schw. e Pind. κᾶδος Pind.: κάλλοσ VB
ἀμφ' Pind. **26** γναθμῶν B **27** ⟨ ⟩ Wil. Schw. **30** τὴν δυστυχίαν V
31 ἐπαίδευσεν B *l* om B **32** ἤτοι ἀγνοῶν B γῆσ εἶναι V

ABV LP

ἄφνω προσελθὼν δῶμα προσπίτνει νεκρῷ· 1205
ᾤμωξε δ' εὐθύς, καὶ περιπτύξας χέρας
κυνεῖ προσαυδῶν τοιάδ'· 'ὦ δύστηνε παῖ,
τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσε;
τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον'. 1210
ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας
προσείχεθ' ὥστε κισσὸς ἔρνεσιν δάφνης
λεπτοῖσι πέπλοις, δεινὰ δ' ἦν παλαίσματα·
ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ, 1215
ἡ δ' ἀντελάζυτ'· εἰ δὲ πρὸς βίαν ἄγοι,
σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.
χρόνῳ δ' ἀπέστη καὶ μεθῆχ' ὁ δύσμορος
ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
κεῖνται δὲ νεκροὶ παῖς τε καὶ γέρων πατὴρ 1220
πέλας, ποθεινὴ δακρύοισι συμφορά.
καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
γνώσῃ γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν,
οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν 1225
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων
τούτους μεγίστην ζημίαν ὀφλισκάνειν.

1205 παρελθὼν Nauck σῶμα ... νεκροῦ Stadtmueller προσπιτνεῖ LP: V[3] (sscr.): προσπίπτει rell. **1206** χέρας LP: δέμας AVB **1207** κύνει ll. praeter V παῖ: σὺ V[1] **1208** τίς σ' LB: V[1] (?): τίς δ' A: τίς rell. **1212** cf. Σ **1215** ἐξανασπάσαι Nauck γρ. δέμας V[3] sscr. **1216** ἀντελάζυτ' LP[1] cum Σ *l*: ἀντελάζετ' rell. **1218** ἀπέσβη Scaliger **1221** δακρύουσι VB: δὴ κἀχθροῖσι Wecklein: δὴ κλύουσι Verrall. sed cf. 1211 **1223** cf. Σ ἀντιστροφήν Christ. pat. 800 **1224** οὖν νῦν A **1225—27** in suspicionem uocauit Prinz (cf. 580 s) **1226** λόγων uix sanum **1227** τούτοις B μωρίαν Aldina

---

SCHOL. **1207** | B[i] καταφιλεῖ προσφωνῶν. **1209** | VB τίς τὸν γέροντα τύμβον: τὸν πλησίον θανάτου ὄντα, ὠμογέροντα. τύμβους καλοῦσι τοὺς γέροντας παρόσον εἰσὶ πλησίον τοῦ θανάτου καὶ τοῦ τάφου.

Bi ἀπεστερημένον σου. **1212** | Bi γράφεται πόδα ἢ γόνυ. **1213** | VB προσείχεθ᾽ ὥστε κισσός: προσεκεκόλλητο, περιεπλέκετο 5 τοῖς πέπλοις αὐτῆς, ὥσπερ ὁ κισσὸς περιπλέκεται τοῖς περὶ αὐτὸν τυγχάνουσιν ἔρνεσιν. **1216** | VB ἡ δ᾽ ἀντελάζετ᾽: ἡ δὲ ἀντελαμβάνετο ὡς δὴ προσδοκῶσα ἀπαλλαγῆναι τοῦ κακοῦ. | VB εἰ δὲ πρὸς βίαν ἄγοι: ὅτε δέ, φησίν, ἐβούλετο αὐτὸς ἑαυτὸν ἀναστῆσαι βίᾳ, ὁμοῦ καὶ τὰς σάρκας ἀπέσπα. **1218** | VBi χρόνῳ δ᾽ ἀπέστη: ἡμίφλεκτος δὲ ἀπέστη 10 καὶ ὕστερον ὑπὸ ὀδύνης ἀπέθανεν. **1219** | Bg ἐπικρατέστερος. **1221** | VB ποθεινὴ δακρύοισι: οἷον· συμφορὰ ὄντες ποθεινὴ πρὸς δάκρυα καὶ θρῆνον κεῖνται. ἀντὶ τοῦ ἀξιοδάκρυτος συμφορά. οὓς ἄν τις ἰδὼν ποθήσειε δακρῦσαι, ἐλεεινοὺς ὄντας τῷ θεάματι. **1222** | VB καί μοι τὸ μὲν σὸν ἐκποδών: τὸ σόν ἀντὶ τοῦ σύ. ⟨σὺ⟩ αὐτή, φησί, 15 ὑφ᾽ οὗ ἤκουσας ἀρτίως λόγου, ἐκποδὼν γενοῦ καὶ φύγε· πειραθήσῃ γὰρ αὐτὴ τιμωρίας. τὸ οὖν λόγου ἀντὶ τοῦ· ὑπὸ τοῦ λόγου καὶ ὧν σοι ἀπήγγειλα, φρούδη γίνου. ζημίας δὲ ἀποστροφὴν τὴν ἀντανάκλασιν τῆς συμφορᾶς ἧς δέδρακας, καταληψομένην σε. ὁ δὲ πᾶς νοῦς οὕτως· καὶ σὺ μὲν αὐτὴ ὑπὸ τοῦ ἐμοῦ λόγου πεισθεῖσα φεῦγε. εἰ γὰρ μὴ φύγοις, τῇ 20 πείρᾳ γνώσῃ ἐπαναστρεφομένην εἰς σὲ τὴν ζημίαν καὶ συμφοράν. | VB ἄλλως: τὸ κατὰ σὲ ἔξω ἔστω τοῦ λόγου, ὅ ἐστι· τὸ κατὰ σὲ οὐκ ἐξεργάσομαι τῷ λόγῳ· αὐτὴ γὰρ γνώσῃ τὰ λοιπὰ ἐκ τῆς εἰς σὲ ἀνακυκλουμένης ζημίας. **1223** | VB γνώσῃ γὰρ αὐτή: γράφεται γλώσσῃ, οἷον· τῇ ἑαυτῆς γλώσσῃ καὶ φλυαρίᾳ ὄψει καταληψομένην σε 25 τιμωρίαν. **1224** | VB τὰ θνητὰ δ᾽ οὐ νῦν πρῶτον: τοῦτο εἶπεν, ἐπεί τινὲς τῶν σοφῶν μεγάλα δύνασθαι τοὺς ἀνθρώπους ἔφησαν καὶ λογισμῷ δευτέρους εἶναι θεῶν. Ὅμηρος μὲν γὰρ [Β 169. 407 Κ 137] Ὀδυσσέα καλεῖ ‘Διὶ μῆτιν ἀτάλαντον’, Πίνδαρος δέ φησιν οὕτως [Nem. 6, 5]· ‘ἀλλά τι προσφέρομεν ἔμπαν φυὰν ἢ μέγαν νόον ἀθανάτοις’. εἰ οὖν, φησίν, ἔδοξέ 30 τισι μεγάλα περὶ τῶν ἀνθρώπων ὑπονοεῖν, ἀλλ᾽ οὖν ἐγὼ σκιὰν ἡγοῦμαι. | Bg οὐθέν. **1227** | Bi τιμωρίαν.

1s *l* om B **2** ὠμογέροντα τύμβουσ δὲ B **3** πλησίον εἰσὶ B **6** ὥσπερ B: καὶ γὰρ V **7** *l* om V **8** δὲ om Bi **12** *l* om B δακρύουσι V **13** ἄξιοσ δακρύων καὶ συμφορᾶσ V **14** θέματι V *l* om B **15** σὺ B: σοῦ V ⟨ ⟩ Schw. αὐτὴν V **16** ἀφ᾽ VB: em Schw. **17** ὑπὲρ V ὧν B: ὑπὲρ ὧν V **20** φύγησ VB: em Wil. **21** τὴν συμφοράν B **22** *l* om B ἔξω τοῦ λόγου μοι ἔστω B **23s** ἀκολουθούσησ V **24** *l* om B γράφεται καὶ B **25** οἷον V: ἵν᾽ ἧι B ὄψει ὅσον οὐδέπω B **26** τιμωρίαν εἰ μὴ συντόμωσ φύγῃσ B *l* om B **27** μεγάλω V ἔφησαν V: ὑπέθεντο B **28s** μὲν — διὶ B: δυσῆι θεοῖσ V **29** ἀτάλαντα V **29s** Πίνδαρος — ἀθανάτοις om V **30** ἐπαμφυὰν B ἢ μέγαν νόον ἤτοι φύσιν Pindarus θνητοῖσ B **30s** εἰ — ἡγοῦμαι V: ἐγὼ οὖν φησὶ καὶ εἴ τισιν ἔδοξε τῶν σοφῶν ἐπᾶραι τὸ ἀνθρώπινον γένοσ οὐ παραιτήσομαι σκιὰν ἀποφαίνειν τὰ κατὰ τοὺσ ἀνθρώπουσ πράγματα B **31** μεγάλω V

ABV LP

θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ. 1230

ΧΟ. ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
κακὰ ξυνάπτειν ἐνδίκως Ἰάσονι.
ὦ τλῆμον, ὥς σου συμφορὰς οἰκτίρομεν,
κόρη Κρέοντος, ἥτις εἰς Ἅιδου πύλας
οἴχῃ γάμων ἕκατι τῶν Ἰάσονος. 1235

ΜΗ. φίλαι, δέδοκται τοὔργον ὡς τάχιστά μοι
παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονὸς
καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή, 1240
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
ἀλλ' εἶ' ὁπλίζου, καρδία. τί μέλλομεν
τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λαβὲ ξίφος,
λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου, 1245
καὶ μὴ κακισθῇς μηδ' ἀναμνησθῇς τέκνων
ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ', ὅμως
φίλοι γ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή. 1250

ΧΟ. ἰὼ Γᾶ τε καὶ παμφαὴς στρ.
ἀκτὶς Ἀελίου, κατίδετ' ἴδετε τὰν
ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·
τεᾶς γὰρ ἀπὸ χρυσέας γονᾶς 1255
ἔβλαστεν, θεοῦ δ' †αἷμά τι πίτνειν

1228 ὄλβιος φύσει Christ. pat. 1016 **1232** ξυνάψειν BPL^3 **1233** οἰκτείρομεν ll. **1234** δόμους LP **1237** κτανοῦσαν L^1 sscr.

1241 κτανοῦμεν VB **1242** εἶ' L: εἶ' AP: εἶα rell. τί μέλλομεν; Stadtmueller -καῖ' ἀκμὴ πράσσειν idem μὴ οὐ Elmsley **1243** del Nauck **1244** χειρὶ σῇ Bothe λάβε ll. **1247** ὡς ⟨σφ'⟩ ἔτικτες Brunck σε LP[1] **1248** λάθου AB: λαβοῦ V[1] **1249** κτείνεισ LP **1250** γ' P: δ' L: τ' rell. **1251—1292** quindecim choreutis distribuit Hense, coryphaeo et ducibus hemichoriorum Arnoldt **1251** τε om A **1252** Ἁλίου G. Hermann κατίδετε (om ἴδετε) ll. praeter L Haun.[2] **1253** οὐλομέναν VP[1]L[3] γυναῖκαν A πρὸσ V[1] φονίαν ll.: em Aldina **1254** τέκνοισι LP **1255** τεᾶς Murray: σᾶσ ll.: ⟨τᾶς⟩ σᾶς Seidler χρυσέας ἀπὸ Musgrave **1256** θεῶν B[1]L αἷμα τι A: αἵματι VB: αἷμα LP: αἵματα Wecklein cf. Σ πιτνεῖν ll. praeter V[1] a. corr.

Schol. **1228** | VB θνητῶν γὰρ οὐδείς ἐστιν: εὐδαίμονά φησι τὸν ἄχρι τέλους ἀπείρατον κακῶν. **1229** | Bi ἐπιγενομένου. **1236** | Bi ὃ προεῖπε περὶ τῶν παίδων. **1238** | VB καὶ μὴ σχολὴν ἄγουσαν: διατριβὴν βραδύτητα. πάλιν δὲ τῷ συνήθει σχήματι ἐχρήσατο, καὶ ἔστιν ἀντὶ τοῦ ἀγούσῃ. **1245** | VB ἕρπε 5 πρὸς βαλβῖδα: βαλβὶς κυρίως ἡ τῶν δρομέων ἄφεσις. ἄγε δὴ οὖν, ὦ Μήδεια, πρὸς ἄφεσιν ὅρμα καὶ ἀρχὴν δυστυχοῦς βίου· λέγει δὲ τῶν τέκνων τὸν φόνον. **1251** | VB ἰὼ Γᾶ τε καὶ παμφαής: ἰδὼν ὁ χορὸς ὅτι πάντως ἔδοξε τῇ Μηδείᾳ φονεῦσαι τὰ τέκνα καὶ ὅτι δυσχερὲς ἦν αὐτῷ τὸ κωλῦσαι τὸ ἐγχείρημα, ἐπικαλεῖται τοὺς θεοὺς παρακλητικοῖς λόγοις εἰς 10 τὸ κωλῦσαι αὐτήν. καὶ Ἥλιον μὲν ἐπικαλεῖται ὡς πρόγονον Μηδείας καὶ ὅτι [λ 109 μ 323] 'πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει', τὴν δὲ Γῆν ὡς μέλλουσαν δέχεσθαι τῆς μιαιφονίας τὸ αἷμα. **1252** | VB κατίδετε τὰν οὐλομέναν: κατοικτείρατε καὶ ἐλεήσατε ἀποβλέψαντες καὶ προνοήσασθε, δι' οὗ τρόπου κωλυθῇ τοῦ φόνου τῶν παίδων. **1256** | VB γονᾶς 15 ἔβλαστε: ἀντὶ τοῦ· ἐβλάστησαν ἔφυσαν. ἐπεὶ ἡ Μήδεια ἔκγονος Ἡλίου, οὗτοι δὲ ἐκ Μηδείας. | VB τὸ γένος. ἐπεὶ οὖν φόβος ἐστὶ τὸ θεῖον αἷμα ὑπὸ ἀνθρώπων πεσεῖν, καὶ σὺ αὐτῇ Ἥλιε τιμώρησαι.

---

1 *l* om B **2** ἄπειρον V **3** s *l* om B **4** s πάλιν—καὶ om V **5** εἰσαγούσῃ V **5** s *l* om B **6** cf. etym. Vat. Flor. s. u. βαλβίς (= etym. magn. 186, 14) schol. Ar. eq. 1159 Suid. οὖν om B **6** s ὦ—βίου Schw.: ὥρμα ὦ μήδεια πρὸσ δυστυχῆ βίον V: ὦ μ. πρὸσ ἄφεσιν ὅρμα καὶ ἀρχὴν δυστυχοῦσ βίου καὶ πράξεωσ ἀτόπου B **7** s τοῦ φόνου τῶν τέκνων B **8** *l* om B ἰδὼν V: ὡσ οἶδεν B **9** τέκνα καὶ ὥρμησε πρὸσ τὴν πρᾶξιν B **10** τὸ κωλῦσαι τοῦτο τὸ B ἐγχείρημα θεοῦ δὲ μόνου τοῦτο B **11** αὐτὴν τῆσ τοιαύτησ τόλμησ B ἥλιοσ V **13** ταῖσ μιαιφονίαισ B **13** s *l* om B **15** κωλυθῇ V: δυνατὸν αὐτὴν ἐπισχεθῆναι B **16** ἀντὶ—ἔφυσαν om V μήδεια μὲν B **17** s scholio quod praecedit adi. V, initio additis αἷμα δὲ **17** αἵματι *l* B ἀντὶ τοῦ γένει B **18** αὐτὴν VB: em Wil.

ABV LP

φόβος ὑπ' ἀνέρων.
ἀλλά νιν, ὦ φάος διογενές, κάτειργε κατάπαυσον,
ἔξελ' οἴκων φονίαν τάλαινάν τ' Ἐρινὺν
ὑπ' ἀλαστόρων. 1260
μάταν μόχθος ἔρρει τέκνων, ἀντ.
ἆρα μάταν γένος φίλιον ἔτεκες, ὦ
κυανεᾶν λιποῦσα Συμπληγάδων
πετρᾶν ἀξενωτάταν ἐσβολάν,
δειλαία, τί σοι φρενῶν βαρὺς 1265
χόλος προσπίτνει καὶ δυσμενὴς
φόνος ἀμείβεται;
χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσματ'· ἐπάγει
γὰρ αὐτοφόνταις ξυνῳδὰ θεόθεν
πίτνοντ' ἐπὶ δόμοις ἄχη. 1270
ἀκούεις βοὰν ἀκούεις τέκνων; στρ. 1273
ἰὼ τλᾶμον, ὦ κακοτυχὲς γύναι. 1274

ΠΑΙΣ. οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας; 1271
οὐκ οἶδ' ἄδελφε φίλτατ'· ὀλλύμεσθα γάρ. 1272

ΧΟ. παρέλθω δόμους; ἀρῆξαι φόνον 1275
δοκεῖ μοι τέκνοις.

ΠΑΙΣ. ναί, πρὸς θεῶν, ἀρήξατ'· ἐν δέοντι γάρ·
ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.

X ΧΟ. τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος ἢ σίδαρος, ἅτις
τέκνων ὃν ἔτεκες 1280

1258 κάθειργε V[1] **1259**s τάλαιναν φονίαν τ' Seidler: φονῶσαν ἀλαόν τ' Kirchhoff Heimsoeth **1260** ἐριννὺν LP: ἐρινῦν A[1]VB **1262** ἆρα AVB: om LP: em Weil ἔτεκ' A ὦ om P: eras. in L **1263** κυανέαν sscr. ω V[1] **1264** πετρῶν V ἀξενωτάτων V: ἀξενοτάταν A **1265** δειλέα V[1]: δηλέα L[1]: δηλαία L[3] φρενοβαρής Seidler: φρένα βαρύς G. Hermann **1266** προσπιτνεῖ ll. δυσσεβής Lenting **1267** φ. ἀμοίβεται; L[1]: ἀμείρεται φ.; P: ἀμείβεται φ.; L[3]: φόνος; ἀμείβεται Murray **1268** μιάσματα AVB **1269** ἐπάγει γὰρ temptauit Wil.: ἐπὶ γαῖαν ll.: ἐπαγαῖα δ' Headlam: παλαιὰ δ' ci Murray αὐτόφονα Wecklein συνωδὰ A[1]P: ξύνοιδα (συν-) V[3] (sscr.) B[2] αὐτοφόνταισιν οἶδα Verrall **1270** πιτνόντ' V[1] e corr.: AB[1]: πιτνοῦντ' LP: πιτνῶντ' V[3] (sscr.) δόμους V[1]

a. corr. ἄχουσ V³ **1271 s** post 1274 traiecit Wil. **1271** ποῖ κτλ. alteri filio tribuit Hense **1272** del Nauck παῖσ B: ἕτεροσ παῖσ rell. ὀλλύμεθα ll. praeter VPL³ **1274** τλῆμον LP post 1274 duos senarios excidisse censet Schoene, e quibus schol. Arist. Ach. 119 ὦ θερμόβουλον σπλάγχνον afferre uidetur Hensio **1277** ΠΑΙΣ G. Hermann: οἱ δύο παῖδεσ A ἀρήξετ' LP **1278** ΠΑΙΣ praescr. G. Hermann: ἄλλοσ V³ ἐντὸς Blaydes **1280** ὃν Seidler: ὧν ll.

Schol. **1259** | VB ἔξελ' οἴκων φονίαν: τὸ ἑξῆς· ὑπέξελε τῶν οἴκων τὴν φονίαν Ἐρινὺν ⟨ὑπὸ⟩ τῶν ἀλαστόρων. **1260** | VB τάλαινάν τ' Ἐρινύν: αὐτήν φησι τὴν δαίμονα, οὐ τὴν Μήδειαν. ὑπείληπται γὰρ τῶν τοιούτων κακῶν αἰτία εἶναι ἡ Ἐρινύς. τάλαιναν δέ, τὴν τάλανας ποιοῦσαν. **1261** | VB μάταν μόχθος: μάτην, φησίν, ὑπὸ δαιμόνων (5) πονηρῶν ἀπόλλυται τὰ τέκνα μηδὲν ἐπταικότα. μόχθος δὲ τέκνων ὁ μοχθηρὸς βίος. περιφραστικῶς τὰ ⟨τέκνα παρόσον δεῖ δι' αὐτὰ⟩ κακοπαθεῖν. **1264** | VB πετρῶν ἀξενωτάτων: περιφραστικῶς τὴν Προποντίδα, παρόσον οἱ προσβάλλοντες τῷ τόπῳ κακῶς διατίθενται. **1265** | Bi τί δὴ τεθύμωσαι τὴν ψυχήν. **1266** | Bi προσπελάζει. (10) τοῖς τέκνοις. **1269 s** | Bi λείπει τὸ ἔστι. **1269** | VB αὐτοφόνταις συνῳδά: τοῖς αὐτοχειρίοις σύμφωνα τούτοις καὶ ἄξια παρὰ τῶν θεῶν ἐστι προσπίπτοντα κακά. ὁ δὲ νοῦς· χαλεποὶ οἱ φόνοι τοῖς αὐτοχειρίοις, τουτέστι· χαλεπὸν μίασμα ὁ τῶν ὁμογενῶν φόνος τῷ τετολμηκότι. τὸ ἑξῆς· ξυνῳδὰ θεόθεν ἐπὶ δόμοις πίτνοντα ἄχη. χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ (15) μιάσματα ἐπὶ γαῖαν αὐτοφόνταις. **1273** | VB ἀκούεις βοάν: τοῦτο πρὸς ἀλλήλας αἱ ἀπὸ τοῦ χοροῦ φασι κατ' ἐρώτησιν· τὸ δὲ ὦ κακοτυχὲς γύναι ἰδίως πρὸς τὴν Μήδειαν ἀναπεφώνηται. τὸ δὲ παρέλθω δόμους πάλιν πρὸς ἀλλήλας κατ' ἐρώτησιν· τὸ δὲ ἀρῆξαι φόνον δοκεῖ μοι τέκνοις κατὰ ἀπόφασιν. **1278** | Bi τοῦ ἀφύκτου θανάτου. τῶν (20) δικτύων. **1279** | Bi πετρίνη ἢ σιδηρᾶ. **1280** | VB ἅτις τέκνων ὧν ἔτεκες: ἥτις τὸν ἄροτον τῶν τέκνων, ὧν ἔτεκες, αὐτόχειρι θανάτῳ κτενεῖς.

---

1 *l* om B **2** ⟨ ⟩ Schw. **2 ss** superioribus adiunxit B **2 s** τάλαιναν δὲ ἐρινῦν B **3** αὐτὴν B: οὐ τὴν V **4** ἡ om V τάλαινασ V: ταλαίνασ B: em Schw. **6** πεποιηκότα B **7** βίοσ τῶν τέκνων B **7 s** περ. τὰ ⟨ ⟩ κακοπαθεῖν Schw.: π. τὰ κακὰ πάθη V: λέγει δὲ περιφρ. τὰ κακὰ π. καὶ μοχθηρὰ τέκνα B: περιφρ. τὰ τέκνα πάθει μοχθηρά Laur. 31, 10 **9** προσβαλόντεσ V οὐ κακῶσ V **10** θυμοῦσαι Bi **11 s** *l* om B **12** συνοιδα V ὑποχειρίοισ V: αὐτοχείροις (idem 14) Wil. τούτοισ σύμφωνα VB: traiecit Schw. **12 s** ἄξια—κακά V: τοῦ τολμήματοσ κακὰ παρὰ τ. θ. ἐ. προσπ. θέλει δὲ εἰπεῖν ὅτι ἀξίωσ τούτουσ οἱ θεοὶ κολάζουσιν B **14** μίασμα καὶ δυσέκνιπτον ὁ φόνοσ ὁ κατὰ τῶν ὁμογενῶν τοῖσ τολμῶσιν αὐτὸν γράφεται δὲ καὶ συνωδᾶ ὅ ἐστι B **15** τὸ δὲ ἑξῆσ V πίπτοντα V **17** κατ' Schw.: πρὸσ B: πρὸσ τὴν V **19** ἀρήξειν B **21 s** *l* om B

ABV LP

ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.
μίαν δὴ κλύω μίαν τῶν πάρος — ἀντ.
γυναῖκ᾽ ἐν φίλοις χέρα βαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ᾽ ἡ Διὸς
δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλῃ. — 1285
πίτνει δ᾽ ἁ τάλαιν᾽ ἐς ἅλμαν φόνῳ
τέκνων δυσσεβεῖ,
ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
δυοῖν τε παίδοιν συνθανοῦσ᾽ ἀπόλλυται.
τί δῆτ᾽ οὖν γένοιτ᾽ ἂν ἔτι δεινόν; ὦ — 1290
γυναικῶν λέχος πολύπονον,
ὅσα βροτοῖς ἔρεξας ἤδη κακά.

ΙΑ. γυναῖκες, αἳ τῆσδ᾽ ἐγγὺς ἕστατε στέγης,
ἆρ᾽ ἐν δόμοισιν ἡ τὰ δείν᾽ εἰργασμένη
Μήδεια τοισίδ᾽, ἢ μεθέστηκεν φυγῇ; — 1295
[[δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
ἢ πτηνὸν ἆραι σῶμ᾽ ἐς αἰθέρος βάθος,
εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.]]
πέποιθ᾽ ἀποκτείνασα κοιράνους χθονὸς
ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων; — 1300
ἀλλ᾽ οὐ γὰρ αὐτῆς φροντίδ᾽ ὡς τέκνων ἔχω·
κείνην μὲν οὓς ἔδρασεν ἔρξουσιν κακῶς,
ἐμῶν δὲ παίδων ἦλθον ἐκσώσων βίον,
μή μοί τι δράσωσ᾽ οἱ προσήκοντες γένει,
μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον. — 1305

1281 πείρᾳ F. W. Schmidt **1282** alterum μίαν om A **1283** γυναικῶν ἐν ll. praeter PL[3] χεῖρα ll. praeter L: em Aldina προσβαλεῖν LP **1285** ἐξέπεμπε B **1286** πιτνεῖ ll. praeter AV[1] ἡ LP: ὦ V ἅλαν A **1289** δὲ P: δὴ L ξυνθανοῦσ᾽ L **1290** δῆτ᾽ Elmsley: δήποτ᾽ ll. **1291** λέχ. πολ. γυν. V **1292** ὅσσα (ὅσα) δὴ ll.: em Seidler **1295** τοισίδ᾽ ἢ Nauck: τοῖσδέ γ᾽ V (σι sscr. V[3]): AB: τοῖσιν LP: τοῖσδ᾽ ἔτ᾽ Hartung **1296** δεῖν AB νιν ἤτοι: τανῦν ἢ Christ. pat. 281 γῆσφε A: γῆς γε Elmsley **1296—98** om Wil. **1297** ἄρα A: ἆρα A[1] βάθοσ sscr.

πτύχαις V[1] **1298** μὴν τυράννῳ V[3] δώσειν Σ: τίσει ci Wecklein **1299**s seclus. Nauck **1299** τυράννουσ AV **1300** ἀθῷοσ ll. φεύξεται Σ **1302** ἕρξουσιν VBP **1303** ἐκσῶσαι P[3] **1304** μοι: νιν Elmsley

---

Schol. **1281** | VBi τὴν γονὴν καὶ τὸ σπέρμα. **1284** | VB Ἰνὼ μανεῖσαν: Ἰνὼ κατὰ χόλον τῆς Ἥρας μανεῖσα ἔρριψεν ἑαυτὴν εἰς τὴν θάλασσαν ἅμα τῷ υἱῷ αὐτῆς Μελικέρτῃ. ἐμίσει γὰρ πάντας τοὺς Θηβαίους ἡ Ἥρα, ὅτι παρ᾽ αὐτοῖς ἐτέχθη ὁ Διόνυσος. καὶ αὐτὸς δὲ ὁ Διόνυσος ἐξέμηνε τὰς τούτων γυναῖκας, μὴ προσιεμένων αὐτὸν ὕστερον τῶν Θηβαίων, 5 ἴσως δὲ καὶ τοῦτο τῆς Ἥρας ἐργασαμένης. οἱ μὲν οὖν ἱστοροῦσι τῷ παιδὶ συγκατενεχθῆναι τὴν Ἰνὼ εἰς τὴν θάλασσαν· Εὐριπίδης δέ φησιν αὐτὴν αὐτόχειρα τῶν δύο παίδων γενομένην, Λεάρχου καὶ Μελικέρτου, αὐτὴν ὕστερον εἰς τὴν θάλασσαν ῥῖψαι. φασὶ δὲ ἐκβρασθέντας εἰς Κόρινθον αὐτοὺς ἀναληφθῆναι <καὶ> προστάξει τοῦ Σισύφου [[ὡς καὶ]] ἀγῶνα Ἴσθμιον 10 ἐπὶ Μελικέρτῃ κατὰ χρησμὸν τεθῆναι τοῦτον ἑωρακότος. | VB ἄλλως: κατὰ χόλον τῆς Ἥρας Ἀθάμας κατετόξευσε Λέαρχον, τὸν ἐξ Ἰνοῦς γενόμενον αὐτῷ παῖδα. καὶ αὐτὴ δὲ ἡ Ἰνὼ μανεῖσα ὑπὸ τῆς Ἥρας (ὤργιστο γὰρ αὐτῇ, ὅτι ἐτεθηλάκει τὸν Διόνυσον) τὸν ἕτερον ἑαυτῆς παῖδα ἐξαρπάσασα Μελικέρτην, ἥλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν. Εὐριπίδης δέ φησιν αὐτὴν 15 αὐτόχειρα γενομένην Λεάρχου καὶ Μελικέρτου, ὕστερον εἰς τὴν θάλασσαν ὀλέσθαι. **1290** | VBi τί δή ποτ᾽ οὖν: τοῦ χεῖρα ἐπιβαλεῖν τοῖς τέκνοις τί χεῖρον ἂν γένοιτο. | VBi καὶ μέχρι παιδοκτονίας χωρησάσῃ. **1292** | VBi ὅσα δὴ βροτοῖς: ὅσα τοῖς ἀνδράσι κακὰ εἰργάσω. **1295** | Bi ἀντὶ τοῦ πέφευγεν. **1296** | VB δεῖ γάρ νιν: δεῖ 20 αὐτὴν ἢ καταταρταρωθῆναι ἢ ἀναπτῆναι, εἰ ἄρα πέποιθε μὴ δώσειν δίκην. **1300** | B ἀντὶ τοῦ· φεύξεσθαι ἀτιμώρητος. **1301** | B οὐχ οὕτως ἔχει. **1305** | VB μητρῷον ἐκπράσσοντες: δίκην ἀπαιτοῦντες αὐτοὺς ὑπὲρ οὗ εἰργάσατο φόνου ἡ τούτων μήτηρ. | Bi ἐκδικοῦντες.

---

1 scholio quod praecedit adi. V, initio additis ἄροτον δὲ τὴν γονὴν καὶ om Bi σπέρμα καὶ τὴν καταβολὴν τῶν παίδων φησίν Bi **2** τὴν om B **3** καὶ πάντασ V ἀθηναίουσ V **4** διότι B **6** ἱστόρησαν V **7** alterum τὴν om B αὐτὴν om B **8** γενομένων V **9** τὴν om B **9—17** cf. arg. Pind. Isthm. schol. Apoll. Arg. 3, 1240 Apollod. 3, 4, 3, 6 Hyg. fab. 2. 273 Paus. 1, 44, 8 **9**s αὐτοὺσ εἰσ κόρινθον ἐκβρασθέντασ ἰνὼ καὶ μελικέρτην B **10** < > Schw. [[ ]] Schw. **11** κατὰ om V, χρησμὸν post θεῖναι traiecto θεῖναι VB: em Schw. τοῦτο VB: em Schw. cf. schol. Apoll. l. c. *l* om B **11—15** cf. Apollod. 3, 4, 3, 5 **14** ἐπισφάξασα VB: em Wil. **15** ἥλλατο (ἤλλ-) VB **17** ἄλλεσθαι VB τοῖς om Bi **18** χεῖρον γέν. V: γένοιτ᾽ ἂν δεινότερον Bi Σ 19 adi. VBi καὶ om Bi χωρήσασα VBi **20**s δεῖ γὰρ αὐτ. B **21** ταρταρωθῆναι ἢ ἀναστῆναι V εἰ μὴ ἄρα VB: em Schw. δίκην τῶν τολμηθέντων B **22** φεύξεται B **22**s coniunxit B **23** lemmate omisso τὸν τῆσ μητρὸσ φόνον εἰσπράσσοντεσ αὐτοὺσ ἀντὶ τοῦ δίκην ἀπ. ὑπὲρ eqs B **24** εἰργάσαντο V ἡ τ. μ. om V

ABV LP

ΧΟ. ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τούσδ' ἂν ἐφθέγξω λόγους.
ΙΑ. τί δ' ἔστιν; ἦ που κἄμ' ἀποκτεῖναι θέλει;
ΧΟ. παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
ΙΑ. οἴμοι τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι. 1310
ΧΟ. ὡς οὐκέτ' ὄντων σῶν τέκνων φρόντιζε δή.
ΙΑ. ποῦ γάρ νιν ἔκτειν', ἐντὸς ἢ ἔξωθεν δόμων;
ΧΟ. πύλας ἀνοίξας σῶν τέκνων ὄψῃ φόνον.
ΙΑ. χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόσπολοι,
ἐκλύεθ' ἁρμούς, ὡς ἴδω διπλοῦν κακόν, 1315
τοὺς μὲν θανόντας, τὴν δὲ τείσωμαι φόνῳ.
ΜΗ. τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
παῦσαι πόνου τοῦδ'· εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
λέγ' εἴ τι βούλῃ, χειρὶ δ' οὐ ψαύσεις ποτέ. 1320
τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.
ΙΑ. ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει,
× ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος 1325
ἔτλης τεκοῦσα, κἄμ' ἄπαιδ' ἀπώλεσας·
καὶ ταῦτα δράσασ' ἥλιόν τε προσβλέπεις
καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
ὄλοι'· ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν
ὅτ' ἐκ δόμων σε βαρβάρου τ' ἀπὸ χθονὸς 1330
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
πατρός τε καὶ γῆς προδότιν ἥ σ' ἐθρέψατο.
τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί·
κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
τὸ καλλίπρῳρον εἰσέβης Ἀργοῦς σκάφος. 1335
ἤρξω μὲν ἐκ τοιῶνδε, νυμφευθεῖσα δὲ
παρ' ἀνδρὶ τῷδε καὶ τεκοῦσά μοι τέκνα,

εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ 1340
γῆμαι σέ, κῆδος ἐχθρὸν ὀλέθριόν τ' ἐμοί,
λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος

1307 s deleuerit Lenting **1312** ἢ ἔξωθεν LPV[3]: ἢ 'ξωθεν AB: ἤξωθεν V[1] **1314** κλεῖδας A **1315** διπλᾶ κακὰ A **1316** spurium censet Schenkl τίσωμαι LP: τίσομαι rell. Σ: τίσουσαν Weil δίκην LP: V[3] (sscr.): φόνον Weil **1317** τούσδε ... λόγους Christ. pat. 121. 437. cf. Aristoph. nub. 1397 Heliod. Aethiop. I, 8 p. 230 D.: ταῦτα ... ἔπη; Wecklein. cf. Σ **1320** γρ. οὐχ' ἅψη sscr. V[3] **1321** ἡλίου LP[1] **1322** ῥῦμα H. Wolf **1326** καί μ' A **1328** δρῶσα LP **1330** δόμου LP σε V[1]: γρ. σοῦ V[3] sscr. **1331** ἔλλην AB[1] **1333** τὸν σὸν δ' LP: τὸν σὸν rell.: τῶν σῶν Wecklein: τοιόνδ' Nauck **1338** ἀπέωσας A **1339** ἔστι τοῦτ' ἥτις V

SCHOL. **1309** | B τὸ ἑξῆς· παῖδες σέθεν τεθνᾶσι μητρῴᾳ χειρί. **1314** | B ῥήξατε τοὺς μοχλούς, λύσατε τὴν ἁρμονίαν τῶν θυρῶν. **1316** | VB τὴν δὲ τίσομαι φόνῳ: λείπει ὁ καί, καὶ τὸ ἴδω ἀπὸ κοινοῦ. καὶ τήνδε τίσομαι, φησίν. διπλοῦν δὲ κακόν ἢ τὸν θάνατόν φησι τῶν δύο τέκνων ἢ ⟨καὶ⟩ τὴν Μήδειαν. **1317** | VB ἄνω ἐπὶ ὕψους 5 ἑστῶσα ταῦτα λέγει. **1320** | B ἀντὶ τοῦ· οὐ δυνήσῃ κατασχεῖν ἡμᾶς οὐδὲ καταλαβεῖν. ἔχομεν γὰρ ὄχημα πρὸς ἀποφυγὴν τῶν πολεμίων. ἐπὶ ὕψους γὰρ παραφαίνεται ἡ Μήδεια, ὀχουμένη δρακοντίνοις ἅρμασι καὶ βαστάζουσα τοὺς παῖδας. **1333** | B ἀντὶ τοῦ Ἐρινύν. | B[i] ἐπήγαγον. **1334** | VB κτανοῦσα γὰρ δὴ σὸν κάσιν: παρὰ τὴν 10 ἑστίαν γὰρ ἀνεῖλε τὸν Ἄψυρτον. ἢ ἐπὶ τῷ βωμῷ τῆς Ἀρτέμιδος, ὡς [[καὶ]] Ἀπολλώνιός [4, 452 sq.] φησιν, ἢ ἐπ' οἴκου ἐν τῇ πατρίδι, ὡς Καλλίμαχος [frg. 411]. **1337** | B δεικτικῶς ἀντὶ τοῦ ἐμοί· ἑαυτὸν γὰρ δείκνυσι. **1339** | VB οὐκ ἔστιν ἥτις τοῦτ': διασύρει τὸ βάρβαρον γένος. οὐκ ἄν, φησί, τοῦτό τις τῶν Ἑλληνίδων γυναικῶν ἔδρασεν. 15 **1342** | VB τῆς Τυρσηνίδος: τῆς Σικελικῆς· Τυρσηνὸν γὰρ πέλαγος Σικελίας. | VB ἐκ τούτων φανερός ἐστιν Εὐριπίδης τὴν τοῦ Ὀδυσσέως πλάνην περὶ τὴν Ἰταλίαν καὶ Σικελίαν ὑπειληφὼς γεγονέναι.

2 ῥήψατε B: em Schw. **3** *l* om B **4** inde a καὶ τ. nouum incipit schol. B διπλ. δὲ κ. om V **4** s θάνατόν—τέκνων B: διπλοῦν θάνατον τῶν τ. V **5** ⟨ ⟩ Wil. ἐπὶ τοῦ πύργου B **10** *l* om B **10** s παρὰ γὰρ τὴν ἑστίαν καὶ τὸν βωμὸν B **11** s ἢ—φησιν om V **12** [[ ]] Schw. ἔποικον VB: em Schw.: del Wil. ἐν om V **12** s ὡς K. om V **14** *l* om B τοῦθ' ἥτις V **15** ἑλλήνων V **16** *l* om B σικελίας V τυρσηνὶς V **17** τῆς σ. ἐκ δὲ τούτων φ. eqs V

ABV LP

Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
δάκοιμι· τοιόνδ' ἐμπέφυκέ σοι θράσος· 1345
ἔρρ', αἰσχροποιὲ καὶ τέκνων μιαιφόνε.
ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα,
ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
οὐ παῖδας οὓς ἔφυσα κἀξεθρεψάμην
ἕξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα. 1350

ΜΗ. μακρὰν ἂν ἐξέτεινα τοῖσδ' ἐναντίον
λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο
οἷ' ἐξ ἐμοῦ πέπονθας οἷά τ' εἰργάσω·
σὺ δ' οὐκ ἔμελλες τἄμ' ἀτιμάσας λέχη
τερπνὸν διάξειν βίοτον ἐγγελῶν ἐμοί, 1355
οὐδ' ἡ τύραννος οὐδ' ὁ σοὶ προσθεὶς γάμους
Κρέων ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλῃ, κάλει
καὶ Σκύλλαν ἣ Τυρσηνὸν ᾤκησεν πέδον·
τῆς σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθηψάμην. 1360

ΙΑ. καὐτή γε λυπῇ καὶ κακῶν κοινωνὸς εἶ.

ΜΗ. σάφ' ἴσθι· λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.

ΙΑ. ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.

ΜΗ. ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.

ΙΑ. οὔτοι νυν ἡμὴ δεξιά σφ' ἀπώλεσεν. 1365

ΜΗ. ἀλλ' ὕβρις οἵ τε σοὶ νεοδμῆτες γάμοι.

ΙΑ. λέχους σφέ γ' ἠξίωσας οὕνεκα κτανεῖν;

ΜΗ. σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;

X ΙΑ. ἥτις γε σώφρων· σοὶ δὲ πάντ' ἐστὶν κακά.

ΜΗ. οἵδ' οὐκέτ' εἰσί· τοῦτο γάρ σε δήξεται. 1370

ΙΑ. οἵδ' εἰσὶν ὤμοι σῷ κάρᾳ μιάστορες.

X ΜΗ. ἴσασιν ὅστις ἦρξε πημονῆς θεοί.

ΙΑ. ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.

ΜΗ. στύγει· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.

ΙΑ. καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί. 1375
ΜΗ. πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
ΙΑ. θάψαι νεκρούς μοι τούσδε καὶ κλαῦσαι πάρες.
ΜΗ. οὐ δῆτ', ἐπεὶ σφᾶς τῇδ' ἐγὼ θάψω χερί,
φέρουσ' ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ,

1345 τοῖον δ' V¹: τοῖον Wecklein **1346** cf. Σ **1347** πάρες ci Murray **1348** ὡσ A **1351** μακρὰν δ' ἂν A: ἦ μάκρ' ἂν LP cum Σ(?) ἐναντία LPV³ (sscr.): ἐναντίοισ A **1356** οὐθ' bis ll.: em Elmsley προθεὶσ AVB γάμον A. cf. Phoen. 581 **1357** ἀνατεὶ L¹P: ἀνατὶ L³ cum Σ: ἀτίμωσ V¹: ἄτιμον rell. cum V³ (sscr.) τῆσδ' ἔμ' V **1359** del Verrall ᾤκηκεν Blaydes πέδον gl. σπη sscr. λ i. σπήλαιον A, unde Musgrave σπέος glossae auctorem legisse censet: πέτραν Elmsley **1362** λήγει F. W. Schmidt μὴ γελᾶσ AV **1364** ὄλεσθε VB **1365** οὐ τοίνυν LPB²V³: οὔτοι νιν A¹B, quo probato δεξιὰ διώλεσεν Wil. **1366** σοὶ om A νεόδμητοι LPV³ (sscr.) **1367** σφε κἠξίωσασ LP: σφ' ἄρ' ἠξίωσας Dindorf **1369** πάντ' ἐστίν, κακή Verrall **1371** ὤμοι V (cf. Σ): ᾤμοι A: οἴμοι rell.: interpretatus est Burges: οἶμαι Tyrwhitt **1374** στυγῇ ll.: em Weil **1375** ῥᾴδιον V¹ **1377** καῦσαι B: ψαῦσαι ad 1403. 1412 coniecerit Prinz. sed cf. Andr. 1159 **1378** ἐπεί σφασ ll. praeter AV³

SCHOL. **1346** | B ὅτι δοκεῖ τὸν στίχον τοῦτον εἰπὼν Εὐριπίδης ἐκβεβλῆσθαι· διὸ κεχίασται. **1351** | VBi μακρὰ[[ν]] ἂν ἐξέτεινα: μακρὰ ἂν ἐξέτεινα ῥήματα ἐναντία τοῖς σοῖς λόγοις. **1357** | Bi ἀντὶ τοῦ ἄνευ αἰτίας. ἢ γράφεται καὶ ἀνατί, ἤτοι ἀτιμωρητὶ καὶ ἄνευ ἄτης. **1361** | Bi συγκοινωνεῖς μοι τῆς ἀτυχίας. **1362** | Bi ἀντὶ τοῦ· 5 λυσιτελεῖ δέ μοι τὸ ἄλγος, ἕως σὺ μὴ ἐγγελᾷς. **1364** | Bi τῇ κακίᾳ, ἤτοι τῇ λαγνείᾳ καὶ ἀκρασίᾳ, τοῦ πατρὸς ἀπολώλατε. **1366** | Bi νεωστὶ γεγονότες. ἢ οἱ νεωστὶ δαμασθέντες. **1369** | VB ἥτις γε σώφρων: ναί, φησίν, ἐκείνη ἥτις σώφρων. **1371** | VBi οἵδ' εἰσίν, ὤμοι: μεταξὺ ἀναπεφώνηκεν εἰς ὑπόμνησιν τῶν τέκνων ἐλθών. 10 **1374** | Bi βάξιν νῦν εἴρηκε τὴν ὁμιλίαν. **1375** | Bi χωρισμοί. **1377** | Bi συγχώρησον. **1379** | V Ἀκραίας θεοῦ: τῆς ἐν τῇ ἀκροπόλει τιμωμένης. ὡς φαρμακὶς δὲ καὶ λαθεῖν ἠδύνατο πράττουσα. | VB Ἀκραῖα πένθιμος ἑορτὴ παρὰ Κορινθίοις. Ἀκραία δὲ εἴρηται παρὰ τὸ ἐν ἀκροπόλει ἱδρῦσθαι. | V ἄλλως: ἔνθα καὶ ἡ αἲξ εὗρε 15 τὴν μάχαιραν, ἀφ' ἧς ἡ παροιμία.

3 τοῖσ σοῖσ V: τούτοισ τοῖσ B **5** μοῦ τῆι ἀτυχίαι Bi **8** s *l* om B **9** ἐκείνη VB σώφρων· γυνὴ οὐδὲν ἠδικῆσθαι νομίζει τοῦ ἀνδρὸσ ἐφ' ἕτερον λέχοσ τραπέντοσ B **10** ἀναπεφώνηκεν om Bi ἐλθὼν τῶν τ. ἰάσων ὠδύρατο καί φησιν ὤιμοι B **13** s πράττουσα ἀκραῖα δὲ πένθ. eqs V **15** ἐν ἀκροπ. om V εἰρῆσθαι VB: em Arsenius cf. Zenob. 1, 27 (L²36) Hesych. Phot. Suid.

ABV LP

ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ, 1380
τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου
σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομεν
τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος. 1385
σὺ δ', ὥσπερ εἰκός, κατθανῇ κακὸς κακῶς,
[[Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,]]
πικρὰς τελευτὰς τῶν ἐμῶν γάμων ἰδών.

ΙΑ. ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων
φονία τε Δίκη. 1390

ΜΗ. τίς δὲ κλύει σοῦ θεὸς ἢ δαίμων,
τοῦ ψευδόρκου καὶ ξειναπάτου;

ΙΑ. φεῦ φεῦ, μυσαρὰ καὶ παιδολέτορ.

ΜΗ. στεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.

ΙΑ. στείχω, δισσῶν γ' ἄμορος τέκνων. 1395

ΜΗ. οὔπω θρηνεῖς· μένε καὶ γῆρας.

ΙΑ. ὦ τέκνα φίλτατα. ΜΗ. μητρί γε, σοὶ δ' οὔ.

ΙΑ. κἄπειτ' ἔκανες; ΜΗ. σέ γε πημαίνουσ'.

ΙΑ. ὤμοι, φιλίου χρῄζω στόματος
παίδων ὁ τάλας προσπτύξασθαι. 1400

ΜΗ. νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ,
τότ' ἀπωσάμενος. ΙΑ. δός μοι πρὸς θεῶν
μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.

ΜΗ. οὐκ ἔστι· μάτην ἔπος ἔρριπται.

ΙΑ. Ζεῦ, τάδ' ἀκούεις ὡς ἀπελαυνόμεθ', 1405
οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς

1380 αὐτῶν . . . καθυβρίσαι AVB καθυβρίσει sscr. V[1] **1382** τέλος schol. Hom. K 56 etym. magn. p. 750 Choerob. epim. p. 112 προσάψομεν A[1]VB cum schol. Hom.: προσάψομαι ALPV[3] (a. corr.): προσάξομεν Choerob. etym. m. **1383** τοῦ A **1386—88** spurios iudicat Nauck **1387** del Bothe **1388** ἐμῶν: νέων Weil **1389** ἐριννὺσ LP: ἐριννῦσ E: **1392** ξειναπάτου V[1] a. corr.: L[3]: -άτα LPBV[1]: ξεναπάτα A **1395** δισ-

σοῖν . . . τέκνοιν Wecklein γ' om A ἄμμορος P[3]B: ἄμοιρος rell. praeter P[1]L[3] **1396** γήρασκ' Porson **1398** ἔκτανες (ἔκτας L[3]) ll.: em Elmsley **1399** ὤμοι V: ᾤμοι AB: αἶ αἶ LPV[3] (sscr.) **1401** σφας V **1404** ἔπος B: δ' ἔπος AV: λόγος LP: V[3] (sscr.) **1405** γρ. ὁρᾷς V[3] (sscr.), unde ὦ Ζεῦ, τάδ' ὁρᾷς; Kirchhoff. cf. Σ ἀπελαυνόμεσθ(α) LPB

Schol. **1381** | V ἐκεῖ γὰρ ἐβασίλευεν ὁ Σίσυφος. | V τύμβους ἀνασπῶν: ἀσεβὲς γὰρ τὸ ἀνορύττειν τάφους. | B[i] τῇ Κορίνθῳ λέγει· Σίσυφος γὰρ προπάτωρ Κορινθίων. **1382** | VB σεμνὴν ἑορτήν: ἐγώ, φησίν, περιποιήσω αὐτοῖς πάνδημον ἑορτὴν ἐν ᾗ πανηγυρίσουσιν οἱ Κορίνθιοι. θύουσι δὲ αὐτοῖς καὶ Ἀργεῖοι κατὰ χρησμόν. | 5 V καὶ τέλη προσάψομεν: λιμωξάντων Κορινθίων ἔχρησεν ὁ θεὸς τιμῆσαι τοὺς τῆς Μηδείας παῖδας. ἐγὼ οὖν, φησί, περιποιήσω αὐτοῖς πάνδημον ἑορτήν. **1385** | VB[i] Αἰγεῖ συνοικήσουσα: λέγεται μετὰ τὸ ἐκβεβλῆσθαι τῆς Κορίνθου σὺν τῷ Αἰγεῖ εἰς Ἀθήνας οἰκῆσαι. **1386** | V κακὸς κακῶς: τὸ ἀκροστόλιον γὰρ τῆς Ἀργοῦς ἀνέθηκεν 10 Ἰάσων τῇ Ἥρᾳ. ποτὲ δὲ εἰσιόντος αὐτοῦ εἰς τὸ ἱερόν, πεσὸν ἀνεῖλεν αὐτόν. λειψάνῳ οὖν φησι μέρει τινὶ τῆς Ἀργοῦς. | VB ἄλλως: ἱστορεῖται Ἰάσων τέλει τοιούτῳ χρήσασθαι. κοιμώμενον γὰρ αὐτὸν ὑπὸ τὴν Ἀργὼ κατασαπεῖσαν ὑπὸ πολλοῦ χρόνου, μέρος τι ταύτης ἐκπεσὸν κατὰ τῆς κεφαλῆς ἔκρουσεν. | B ἄλλως: οἱ μὲν λέγουσι κατὰ Μηδείας [[χόλον ἢ]] 15 κέλευσιν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς καταδαρθέντα τὸν Ἰάσονα τελευτῆσαι, ἐμπεσόντος αὐτῷ ξύλου. Νεόφρων δὲ ξενικώτερον ἀγχόνῃ φησὶ τελευτῆσαι· τὴν γὰρ Μήδειαν παράγει πρὸς αὐτὸν εἰποῦσαν [frg. 3]·

'τέλος φθερεῖς γὰρ αὐτὸν αἰσχίστῳ μόρῳ,
δέρῃ βροχωτὸν ἀγχόνην ἐπισπάσας. 20
τοία σε μοῖρα σῶν κακῶν ἔργων μένει,
δίδαξις ἄλλοις μυρίας ἐφ' ἡμέρας
θεῶν ὕπερθε μήποτ' αἴρεσθαι βροτούς'.

1392 | B[i] ἀπατήσαντος τὴν ξένην. **1393** | B[i] μιαρά. **1403** | B[i] τοῦ σώματος. **1404** | B μάτην εἶπας τοῦτο. **1405** | B γράφεται 25 ἰὼ Ζεῦ, τάδ' ἀκούεις.

---

1 Σ praeced. adi. V **3** s lemmate omisso τέλη λέγει τὰ μυστήρια καὶ τὰς τελετὰς ἐγὼ δὲ φησὶν B **5** οἱ κ. V: πάντες οἱ δημόται θυσίας ἐπιτελοῦντες αὐτοῖς B θύουσι—χρ. om V **6** cf. schol. Pind. Ol. 13, 74 **10** ἀργοστόλιον V: em Dindorf **12** *l* om B **12** s ἱστόρηται ὁ ἰάσων V **13** χρῆσθαι V **15** ἔκρουσεν ἀργοῦς οὖν λειψάνωι εἶπεν ἀντὶ τοῦ μέρει τινὶ τῆς ἀργοῦς B **15—17** cf. argum. p. 3, 20 ss **15** [[ ]] Schw. **16** καταδραθέντα B **17** αὐτῆι B **19** φθερεῖς Elmsley: φέρεις post μόρῳ collocauit B ἐχθίστω B: em Elmsley **20** δέρῃ in fine uersus B: em Nauck ἀγχόνης B: em G. Herm. **22** διδάξεις τ' ἄλλους B: em Elmsley μυρίους ἐφημέρους B: em Wil. **23** αἱρεῖσθαι B: em Barnes βροτοῖς B: em Schw.

ABV LP

καὶ παιδοφόνου τῆσδε λεαίνης;
ἀλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι
τάδε καὶ θρηνῶ κἀπιθεάζω,
μαρτυρόμενος δαίμονας ὥς μοι 1410
τέκν' ἀποκτείνασ' ἀποκωλύεις
ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,
οὓς μήποτ' ἐγὼ φύσας ὄφελον
πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.

ΧΟ. πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ, 1415

ABV LPΠ[4]

πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον ηὗρε θεός.
τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

1409 κἀπιθοάζω ll.: em Blomfield ad Aesch. Cho. 842 (855) **1410** μαρτυράμενοσ V[3] μου B **1411** τέκνα κτείνασ' LP **1413** ὤφελον ll. praeter V[1] **1414** φθινομένουσ LP **1415** ζεῦ V[1] **1416** πολλά τ' Π[4] (Papyr. Hibeh 25) ἄελπτα Stobaeus flor. 111, 6 **1417** δοκήσαντ Π[4] **1418** εὗρε ll. **1419** τόδε τὸ AV τέλοσ εὐριπίδου μηδείασ V: τέλοσ μηδείασ AL: τέλοσ μηδείασ εὐριπίδου B[1]

1408 | B καθὸ ἐνδέχεται. **1409** | B ἐπιφθέγγομαι. **1410** | B ἀναβοῶν τοὺς θεοὺς καὶ ἐπικαλούμενος. **1413** | B μὴ γεννήσας. **1415** | B ταῦτα ὡς ἀπὸ τοῦ χοροῦ ἐστι λεγόμενα. B πρὸς διάφορα ἀντίγραφα Διονυσίου ὁλοσχερὲς καί τινα τῶν Διδύμου.

ADDENDVM

p. 9 adn. **17** διδάσκει — 20 ἑξῆς om V

TABVLAE IN VSVM SCHOLARVM

EDITAE SVB CURA

IOHANNIS LIETZMANN

Wie die Sammlung der „Kleinen Texte für theologische und philologische Vorlesungen und Uebungen" es sich zur Aufgabe stellt, Quellenschriften von geringem Umfang in einer Form und Ausstattung vorzulegen, die sie zur Grundlage des wissenschaftlichen Unterrichts geeignet erscheinen läßt, so sind diese Tafelwerke dazu bestimmt, das für die historisch-philologischen Fächer wichtigste Anschauungsmaterial in einer Gestalt zu bieten, welche technisch allen Anforderungen der Wissenschaft entspricht und dabei doch einen für den Studenten erschwinglichen Preis anzusetzen gestattet. Denn es ist allerdings für den akademischen Unterricht von höchster Bedeutung, daß der Lernende auch die für die Schulung seines Auges bedeutsamen Lehrmittel selbst besitzt und sie nicht nur gelegentlich auf den Bibliotheken oder in den Museen zu Gesichte bekommt. Der Preis von ca. 6 Mark für das gebundene Exemplar wird deshalb möglichst beibehalten werden.

Erschienen ist:

1. SPECIMINA CODICVM GRAECORVM VATICANORVM collegerunt PIVS FRANCHI DE' CAVALIERI et IOHANNES LIETZMANN. 1910. XVI S. 50 Tafeln in Lichtdruck. Geb. in Leinenband 6 M. Auf Karton gedruckt in Ganzpergament 12 M. **Eine Auswahl von meist datierten griechischen Handschriften des IV. bis XVI. Jahrhunderts der Bibl. Vaticana.**

   Diese Sammlung bietet Material zum Studium der griechischen Handschriften-Paläographie aus den reichen für diesen Zweck bisher noch nicht benutzten Schätzen der Vaticana. 7 Tafeln

zeigen die wichtigsten Uncialtypen vom IV. bis X. Jahrhundert. Auf eine Probe der Minuskelkursive saec. VIII./IX. folgt dann die Entwickelung der Minuskelschrift vom IX. bis XVI. Jahrhundert fast durchweg an datierten, vielfach auch lokalisierten Handschriften gezeigt. Das IX. Jahrhundert ist durch 4, das X. durch 6, XI. durch 9, XII. durch 5, XIII. durch 7, XIV. durch 4, XV. und XVI. durch je 3 Tafeln vertreten. Darunter befinden sich 5 Proben der unteritalischen Schrift vom X. bis XIII. Jahrhundert.

2. PAPYRI GRAECAE BEROLINENSES collegit GVILELMVS SCHVBART. 50 Tafeln in Lichtdruck. Geb. in Leinenband 6 M., in Ganzpergament 12 M. **Auswahl von Urkunden und literarischen Papyri des Berliner Museums.**

Auf 50 Lichtdrucktafeln werden nahezu 80 Papyrustexte vollständig oder in Proben wiedergegeben und damit die Hauptzüge der Schriftentwicklung vom Ende des 4. Jahrh. n. Chr. bis zum Beginn des 8. Jahrh. v. Chr. vor Augen geführt. Urkunden, Briefe und literarische Stücke sind ohne Sonderung nach Sachgruppen lediglich nach der Zeitfolge geordnet, wobei den literarischen Texten freilich nur durch Schätzung ihr Platz angewiesen werden kann. Den Hauptzweck, Material zur Einarbeitung in die Paläographie zu bieten, unterstützen die den Tafeln vorausgehenden Textbogen, die für jeden Papyrus Herkunft, Zeit, Inhalt und eventuell die erfolgte Publikation notieren und in beträchtlichem Umfange auch Abschriften der griechischen Texte beifügen, um dem Anfänger die unentbehrliche Hilfe, dem Vorgeschrittenen die Nachprüfung an die Hand zu geben. Eine Gruppierung der Papyri nach der Schwierigkeit für die Entzifferung wird vorangeschickt um den Lernenden auf den rechten Weg zu führen. Neben dem pädagogischen Gesichtspunkte wird das Werk als ein bequemes paläographisches Nachschlagebuch dienen können. Soweit die maßgebenden paläographischen Ziele es zulassen, wird darauf Bedacht genommen, auch inhaltlich wertvolle Stücke abzubilden, so daß die bekanntesten Papyri der Berliner Sammlung fast ausnahmslos vertreten sind.

3. SPECIMINA CODICVM LATINORVM VATICANORVM collegerunt FRANCISCUS EHRLE J. S. et PAULUS LIEBAERT. 1911. 50 Tafeln in Lichtdruck. In Leinenband 6 M. Vorzugsexemplare in Pergament 12 M.

Der Praefekt der vatikanischen Bibliothek P. F. EHRLE S. J. hat in Gemeinschaft mit Abbé LIEBAERT aus den reichen ihm unterstellten Schätzen zum Zweck des akademischen Unterrichts eine Reihe von womöglich datierten Codices ausgewählt, welche die Entwickelung der lateinischen Buchschrift vom IV. Jahrhundert

bis in die Humanistenzeit darstellen. Auf 50 Lichtdrucktafeln (18×24 cm) sind 58 Schriftproben in der Größe der Originale wiedergegeben: die einzelnen Tafeln sind mit Zeilenzählern und erläuternder Unterschrift versehen. Als Text ist beigegeben eine kurze Skizze der Entwickelung der lateinischen Schrift, sodann Beschreibung der einzelnen Handschriften mit reichhaltigen Literaturverweisen und Umschrift aller irgendwie schwierigen Tafeln. Es werden Proben von folgenden Schriftarten geboten: Majuskel: Capitalis (Taf. 1—3), Uncialis (4—5), Semiuncialis (5—7); Nationalschriften: Italische Halbcursive (8—9), Norditalische Minuskel (10), Mittelitalische (Beneventaner) Minuskel saec. IX—XIII (11—17). Gallische Schrift saec. VIII—IX (18—20), Insulare Schrift saec. VIII—XII (21—24), Spanische (Westgotische) Schrift saec. IX—XI (25—26), Deutsche Schrift saec. VIII (27—28). Karolingische Minuskel saec. IX—XI aus Deutschland, Frankreich, Italien, England (29—35). Gothische Schrift saec. XII—IV aus denselben Ländern (36—45) mit besonderer Rücksicht auf die Fachschriften (theologische, juristische, philosophische). Humanistische Schrift saec. XV aus Deutschland, Frankreich, Italien.

Aus den Besprechungen von Nr. 1:

Eine hochwillkommene Gabe in meisterhafter Ausführung, von der eine Belebung des Interesses und des Verständnisses für Handschriftenforschung in den Kreisen der Studierenden sicher ausgehen wird.

THEOLOGISCHE LITERATURZEITUNG 1911, Nr. 6.

Ein ausgezeichnetes und außerordentlich billiges Hilfsmittel zum Studium der griechischen Paläographie.

BIBL. ZEITSCHRIFT 1911, Heft 1.

Die gut ausgeführten Schrifttafeln beginnen mit Proben des 4. bis 6. Jahrhunderts n. Chr., zeigen die verschiedenartigen Schrifttypen bis zum Jahre 1565 und gewähren somit ein willkommenes Hilfsmittel für philologische und theologische Seminare auf dem Gebiete der griechischen Paläographie.

„LITERARISCHES ZENTRALBLATT“ 1911, Nr. 11.

Das Buch ist allen Freunden griechischer Handschriftenkunde angelegentlichst zu empfehlen. Wer es sorgsam durchstudiert, wird sich große Leichtigkeit im Lesen der Kodizes erwerben.

„STIMMEN AUS MARIA-LAACH“ 1911, Heft 2.

Jeder der sich mit griechischer Paläographie befassen muß, Lehrer sowohl wie Schüler, wird den beiden Gelehrten Dank wissen, daß sie in den „SPECIMINA“ ein so billiges und bequemes Hilfsmittel zum praktischen Studium geschaffen haben. Weiterer Empfehlung bedarf das Werk nicht. Es empfiehlt sich selber. „LITERARISCHER HANDWEISER“ 1911, Nr. 4.

L'album, d'une exécution matérielle parfaite, d'un format commode, est destiné à l'enseignement de la paléographie grecque.

„REVUE DES ETUDES ANCIENNES“.

Druck von G. Kreysing in Leipzig.

Druck von G. Kreysing in Leipzig.

